This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

888
E86
C66
1849

A 469807 DUPL


1817
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

No. 381

SCHOLIA ANTIQUA

IN

EURIPIDIS TRAGOEDIAS

88
F9
C6
15

PARTIM INEDITA

PARTIM EDITIS INTEGRIORA.

EX RECENSIONE C. G. COBETI

ITERUM EDIDIT

AUGUSTUS WITZSCHEL.

LIPSIAE,
SUMPTIBUS ERNESTI GEUTHERI.
MDCCCXLIX.

SSS
DSC
CCC
A-1

PRAEFATIO.

Quae denuo hic in lucem prodeunt supplementa scholiorum in Euripidis tragoedias fere omnes, primus divulgavit C. G. Cobetius. Insunt in appendice quadam ad editionem Euripidis Phoenissarum a Iacobo Geelio curatam, quae prodiit Lugduni Batavorum a. MDCCCXLVI. Codices, unde haec scholia Cobet. descripsit, sunt tres: Venetus, Vaticanus, Neapolitanus. De Veneto, qui servatur in bibliotheca Marciana, notatus CCCCLXXI, Cobet. haec rettulit: „Codex est membranaceus, formae quae dici solet quartae minoris, scriptus saeculo fere XII, manu eleganti, scriptura minutissima. Continet Dionysium Periegetem cum scholiis haud ita magni pretii. *Tum Euripidis* Hecubam, Orestem, *Phoenissas, Andromachen*, Hippolytum in fine muti-

lum. Margines oppletae sunt scholiis antiquis et bonae notae, unde quae nova essent aut meliora vulgatis diligenter excerpsi.“ Alter codex est notissimus ille Vaticanus 909, bombycinus, formae maximae, saeculi XIII. Continet Hecubam, Orestem, Phoenissas, Hippolytum, Medeam, Alcestidem, Andromacham, Troadas et Rhesum aliquot locis et in fine mutilum. „Omnibus adscripta sunt scholia antiqua a prima manu. Delibavi praestantissima quaeque. In iis, quae cum Marciano habet communia, ita conspirat, ut quamquam saepe librariorum vitio discrepantes tamen ex eodem fonte fluxisse videantur.“ Tertium librum describens ita pergit vir doctissimus: „Codex est Neapolitanus, Musei Borbonici 165 (notatus in catalogo II. F. 9) chartaceus, formae maximae, saeculo XIV scriptus. Insunt varia. Foliis 93 — 140 continet Euripidis Hecubam, Orestem, Phoenissas Troadas. Praecedit vita Euripidis: *Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς — τελευτᾷ δὲ ἐπὶ τῆς ἐνενηκοστῆς Ὀλυμπιάδος:* — (quam vide apud Wester-

mannum *Biογρ.* p. 141). In marginibus scholia leguntur uberrima, quae ad tres priores Tragoedias futilissima sunt et Constantinopolitanae sapientiae, non omnia eodem tempore neque ab eodem adscripta. Alia res est in Troadibus, quae ab eodem librario sed alio tempore, ut ex atramenti colore apparet, ex alio codice addita est: scholia omnia sunt a prima manu ordine et eleganter adpicta. Statim intellexi me ex magistellorum nugis emersisse. Video scholia antiquorum Grammaticorum bonae frugis et perdocta. Considero attentius. Comperi eadem esse, quae in Vaticano repereram. Non est ovum ovo similius: etiam in levissimis erroribus plerumque conspirabant. Accedebat titulus: *Ἀριστοφάνους γραμματικοῦ σχόλια εἰς τὸ δρᾶμα τῶν τοῦ Εὐριπίδου Τρῳάδων*, unde hoc saltem confici potest, subesse in iis reliquias commentariorum Aristophanis, quibus deinde aliunde alia sint intermixta. Contuli optima quaeque cum iis quae ex Vaticano descripseram: adieci nonnulla, quae in hoc expediri non potuerant. Scilicet arduum opus


1817
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

SCHOLIA ANTIQUA

IN

EURIPIDIS TRAGOEDIAS

PARTIM INEDITA

PARTIM EDITIS INTEGRIORA.

EX RECENSIONE C. G. COBETI

ITERUM EDIDIT

AUGUSTUS WITZSCHEL.

LIPSIAE,
SUMPTIBUS ERNESTI GEUTHERI.
MDCCCXLIX.

PRAEFATIO.

Quae denuo hic in lucem prodeunt supplementa scholiorum in Euripidis tragoedias fere omnes, primus divulgavit C. G. Cobetius. Insunt in appendice quadam ad editionem Euripidis Phoenissarum a Iacobo Geelio curatam, quae prodiit Lugduni Batavorum a. MDCCCXLVI. Codices, unde haec scholia Cobet. descripsit, sunt tres: Venetus, Vaticanus, Neapolitanus. De Veneto, qui servatur in bibliotheca Marciana, notatus CCCCLXXI, Cobet. haec rettulit: „Codex est membranaceus, formae quae dici solet quartae minoris, scriptus saeculo fere XII, manu eleganti, scriptura minutissima. Continet Dionysium Periegetem cum scholiis haud ita magni pretii. *Tum Euripidis* Hecubam, Oresten, Phoenissas, Andromachen, Hippolytum in fine muti-

lum. Margines oppletae sunt scholiis antiquis et bonae notae, unde quae nova essent aut meliora vulgatis diligenter excerpsi.“ Alter codex est notissimus ille Vaticanus 909, bombycinus, formae maximae, saeculi XIII. Continet Hecubam, Orestem, Phoenissas, Hippolytum, Medeam, Alcestidem, Andromacham, Troadas et Rhesum aliquot locis et in fine mutilum. „Omnibus adscripta sunt scholia antiqua a prima manu. Delibavi praestantissima quaeque. In iis, quae cum Marciano habet communia, ita conspirat, ut quamquam saepe librariorum vitio discrepantes tamen ex eodem fonte fluxisse videantur.“ Tertium librum describens ita pergit vir doctissimus: „Codex est Neapolitanus, Musei Borbonici 165 (notatus in catalogo II. F. 9) chartaceus, formae maximae, saeculo XIV scriptus. Insunt varia. Foliis 93 — 140 continet Euripidis Hecubam, Orestem, Phoenissas Troadas. Praecedit vita Euripidis: *Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς — τελευτᾷ δὲ ἐπὶ τῆς ἐνενηκοστῆς Ὀλυμπιάδος:* — (quam vide apud Wester-

mannum *Biογρ.* p. 141). In marginibus scholia leguntur uberrima, quae ad tres priores Tragoedias futilissima sunt et Constantinopolitanae sapientiae, non omnia eodem tempore neque ab eodem adscripta. Alia res est in Troadibus, quae ab eodem librario sed alio tempore, ut ex atramenti colore apparet, ex alio codice addita est: scholia omnia sunt a prima manu ordine et eleganter adpicta. Statim intellexi me ex magistellorum nugis emersisse. Video scholia antiquorum Grammaticorum bonae frugis et perdocta. Considero attentius. Comperi eadem esse, quae in Vaticano repereram. Non est ovum ovo similius: etiam in levissimis erroribus plerumque conspirabant. Accedebat titulus: *Ἀριστοφάνους γραμματικοῦ σχόλια εἰς τὸ δρᾶμα τῶν τοῦ Εὐριπίδου Τρῳάδων*, unde hoc saltem confici potest, subesse in iis reliquias commentariorum Aristophanis, quibus deinde aliunde alia sint intermixta. Contuli optima quaeque cum iis quae ex Vaticano descripseram: adieci nonnulla, quae in hoc explodiri non potuerant. Scilicet arduum opus

erat in Marciano pariter et Vaticano tenuissimam scripturam, saepe madore et situ evanidam, extricare. Et de Vaticano quidem sic scribit Hieronymus Amati: *Monitos vellem viros doctissimos, ad quos hae schedae nostrae pervenient, scholia ista adeo minutis, deficientibus et evanidis literis scripta esse, ut palaeophilos superiorum ac nostrorum temporum deterruerint.* Peius etiam passim habitus est Marcianus, in quo saepius repetito conatu tandem pauca expedivi, de quibus dudum desperaveram. Praeterea, ut fieri solet in scholiis, quae in marginum angustiis erant coarctanda, horrent omni genere compendiorum et siglarum. Non est quidem in his multum negotii nisi graecè nescientibus aut alias res agentibus; nam compendiorum forma stabilis est et vocabula decurtata quo modo scribenda sint, ex ipsa sententia et linguae usu ambiguum esse non potest: sed Graeculi, qui ex antiquis libris haec omnia describebant, non ea erant peritia et diligentia, quae in tali re prorsus requiritur. Apparet iam olim plurima lacunis

hiasse et miserum in modum confusa et corrupta fuisse. Librarii socordes, qui quorum scribebant parum aut nihil intelligebant, passim et omiserunt aliquid et in compendiis expediendis erraverunt et quibuscunque modis turbas dederunt. Istorum errores, ubicunque simplex emendandi ratio occurrebat, correxi, apposita fideliter singulis codicum scriptura etiam in levissimis, ratus in iis, quae primum e codicibus prodeant, nemini quidquam licere: praeterea ubi potui, originem vitiosae lectionis aperui: reliqua, quibus probabilis correctio non suppetebat, criticorum diligentiae et acumini committo. Quae scholiis in codicibus praefixa sunt lemmata, pleraque servavi: ubi omissa erant aut perturbata, de coniectura adscripsi locum, quo referendum scholion videbatur. Solent fere librarii initia versuum, quo scholia pertinent, apponere, etiam ubi ad extremam partem refertur annotatio: vide ad Rhesum vs. 165. In codicibus subiiciuntur lemmatis duo puncta [:]: idem ego feci ubi codices secutus *sum*: in reliquis posui hoc signum ⟩[. Ex

omnibus iis, quae e codicibus descripseram, potiora nunc delibavi partim inedita partim vulgatis integriora: hinc repetii e scholiis in Alcestidem, Rhesum et Troades ea, quae ex ipso codice emendatiora dari poterant, cetera cum varietate lectionis in Euripide alias datarus.“

Haec Cobetius de illis codicibus. Quorum habitum et conditionem ut lectores bene cognitum habeant, libros illos manu scriptos ipsius Cobeti verbis describere haud inutile videbatur.

SCHOLIA ANTIQUA

IN

EURIPIDIS TRAGOEDIAS

PARTIM INEDITA

PARTIM EDITIS INTEGRIORA.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΕΚΑΒΗΝ.

[E Codice Marciano 471 (V) et Vaticano 909 (R)].

V. 1. *Προλογίζει Πολύδωρος Ἑκάβης ὢν γνήσιος παῖς, ὃν*[1] *Πολυμήστωρ ὁ τῆς Θρᾴκης βασιλεὺς ἀνεῖλεν. τὴν δὲ Ἑκάβην Λύμαντος οἱ πολλοὶ δὲ Κισσέως. ἔνιοι δὲ γράφουσιν· Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως καὶ στοχάζονται ἀπὸ γένους τινὸς τῆς Φρυγίας ἢ κώμης οὕτως αὐτὴν προσαγορεύεσθαι, ὡς καὶ Φιλόχορος*[2] *ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ.*

τὰ περὶ τὴν ξένην[3] *ἔστι καὶ παρὰ Σοφοκλεῖ εὑρεῖν καὶ περὶ Πολυξένην:—*

Ἑκάβης παῖς γεγὼς Πριάμου: Φερεκύδης γράφει οὕτως· Πρίαμος δὲ ὁ Λαομέδοντος γαμεῖ Ἑκάβην τὴν Λύμαντος τοῦ Ἰονέως τοῦ Πρωτέως ἢ Σαγγαρίου τοῦ ποταμοῦ καὶ Νηΐδος νύμφης Εὐαγόρας. Γλαυκίππην δ' ἔνιοι τὴν Ξάνθου τῆς Ἑκάβης παρέδοσαν[4] *μητέρα. Νίκανδρος δὲ ὁ Εὐριπίδῃ συνδραμὼν τὴν Ἑκάβην φησὶ Κισσέως·*

Ἐνθ' Ἑκάβη Κισσηΐς, ὅτ' ἐν πυρὶ δέρκετο πάτρην
καὶ πόσιν ἑλκηθεῖσα[5] *παρασπαίροντα θυηλαῖς*[6]*,*
εἰς ἅλα ποσσὶν[7] *ὄρουσε καὶ ἣν ἠλλάξατο μορφὴν*
γρηιονυρνακίδεσιν[8] *ἐειδόμενον σκυλάκεσσιν:—* **V.**

V. 1. [1] Cod. ὁ. [2] Cod. φιλόχωρος. [3] „Fort. *τὰ περὶ τὴν Πολυξένην*, expunctis in fine verbis καὶ περὶ *Πολυξένην.*" *C. bel.* [4] Cod. πάριδος ἂν. [5] Cod. ἑλκηθεῖσαν. [6] Cod. θηλαῖς. [7] Cod. ποσὶν. [8] Sic Cod. γρη-

Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως: τὰ περὶ τὴν Ἑκάβην[9] διαφόρως ἱστορεῖται[10]. Φιλόχορος[11] μὲν γὰρ ἐν τῷ περὶ τραγῳδιῶν Χοιρίλην αὐτήν φησι καλεῖσθαι[12]. ἴσως δὲ διὰ τὸ πολύπαιδα γεγενῆσθαι. ἡ γὰρ χοῖρος πολλὰ τίκτει, καὶ ἐν[13] τοῖς Ὀρφικοῖς οἱ χοῖροι ἑκάβαι προσαγορεύονται. οἱ δὲ λοιποὶ πάντες[14] κυρίῳ αὐτὴν ὀνόματι προσηγόρευσαν. πολλάκις δὲ ὁ Εὐριπίδης αὐτοσχεδιάζει[15] ἐν ταῖς γενεαλογίαις ὡς καὶ ἑαυτῷ ἐνίοτε ἐναντία λέγειν καὶ νῦν Κισσέως ἔφη θυγατέρα τὴν Ἑκάβην μετενεγκὼν * τὸν πατέρα Θεανοῦς, περὶ οὗ[16] φησὶν Ὅμηρος[17].

Κισσῆς τόγ' ἔθρεψε δόμοις ἐνὶ τυτθὸν ἐόντα
ὃς τίκτε Θεανὼ καλλιπάρῃον. VR.

γρ. τῆς Κισσέως καὶ ὑπονοοῦσιν ἀπὸ γενεᾶς τινος Φρυγίας εἰρῆσθαι ἢ ἀπὸ κώμης, ὡς Φιλόχορος ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ:—

ἥκω νεκρῶν) τὸ ἐξῆς· ἥκω Πολύδωρος ὁ παῖς Ἑκάβης τῆς Κισσέως. ἔνιοι Ἡετίωνος καὶ Ἱπποθόης τῆς Ἐριχθονίου. Κισσέως φασὶ γενέσθαι οὕτως[18] Τηλεκλείας τῆς Ἰλίου Ἑκάβης καὶ Θεανώ:—

τὸ χ ὅτι ἴδιον Κισσέως τὴν Ἑκάβην, Ὁμήρου Δύμαντος αὐτὴν εἰρηκότος·[19]
αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος:— V.

ιονυρνακίδεσιν. litera ō non satis certa est. [9] Vat. τὰ περὶ τοῦ ὀνόματος τῆς Ἑκάβης. [10] Ven. διάφορον ἱστόρηται. Vat. διαφόρως ἱστόρηται. [11] Ven. φιλόχωρος. [12] Vat. κεκλῆσθαι. [13] Ven. ὡς ἐν. Vat. καὶ ἐν. [14] Ven. οἱ δὲ λυποὶ πάντες. Vat. οἱ δὲ λοιποί. [15] Ven. αὐτοσχεδιάζειν. [16] Vat. Θεανοῦς περὶ οὗ φησὶν ὅμηρος. Ven. Θεανους ὅμηρος. „Apparet excidisse quaedam post verbum μετενεγκών.“ *Cobet.* [17] Iliad. *Λ.* 223. [18] „Fort. scrib. οἱ δὲ Κισσέως φασὶ γενέσθαι καὶ Τηλεκλείας — Ἑκάβην. Scholion Victorianum ad Iliad. *Π.* 718. Δύμαντος καὶ Εὐνόης νύμφης, ὡς Φερεκύδης. Ἀθηνίων δὲ Κισσέως καὶ Τηλεκλείας.“ *Cobet.* [19] „Iliad. *Π.* 718. ad quem locum *Aristonicus ex Aristarcho* annotavit: ἡ διπλῆ ὅτι Ὅμηρος τὴν Ἑκάβην Δύμαντος, ὁ δὲ Εὐριπίδης Κισσέως.“ Cobet.

V. 4. ὅς μ' ἐπεὶ Φρυγῶν πόλιν: τὸ χ̄ ὅτι οἱ νεώτεροι συγχέουσι Φρυγίαν καὶ Τροίαν[1], Ὅμηρος δὲ διαιρεῖ:— V.

V. 29. διαύλοις) ἀπὸ μεταφορᾶς εἴρηται, πρὸς ὃ καὶ τὸ χ̄ πρὸς τὴν διαφοράν. V.

V. 41. τύμβῳ φίλον πρόσφαγμα: ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος. ὁ δὲ τὰ Κυπριακὰ[1] ποιήσας φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῇ τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν ἀπολέσθαι[2], ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος γράφει. ἄλλοι δέ φασι συνθέμενον Πριάμῳ τὸν Ἀχιλλέα περὶ τοῦ Πολυξένης γάμου ἀναιρεθῆναι ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἅλσει:— VR.

V. 69. πότνια νὺξ[1] μελανοπτερύγων) ἐπειδὴ ἐν νυκτὶ προσπελάζουσι. καὶ Ἡσίοδος περὶ τῆς νυκτὸς λέγων ἐπιφέρει[2]·

ἔτικτε δὲ φῦλον ὀνείρων.

οἱ δὲ γράφουσι χθών· οὕτως εἶπεν, ἐπειδὴ ἐκ τῆς γῆς λέγονται ἀναπέμπεσθαι ὄνειροι:— ἄλλως. τὴν γῆν εἶπεν, ἐπειδὴ ἐξ Ἅιδου λέγονται οἱ ὄνειροι ἀναπέμπεσθαι. Ἡσίοδος γὰρ[3] Νυκτὸς τοὺς ὀνείρους φησίν:— V.

V. 119. τὼ Θησελδα: τοὺς Θησέως παῖδας. ἔνιοί φασι μὴ ἡγεμόνας στρατεύεσθαι ἐπὶ Ἴλιον μηδὲ τῆς συμμαχίας χάριν ἀλλὰ ἀποληψομένους τὴν Αἴθραν. διὸ καὶ τὸν Ὅμηρον λέγειν τὸν Μενεσθέα

V. 4. [1] „*Τροίαν* in codice non amplius apparet. Aristonicus ad Iliad. *B*. 862. *ἡ διπλῆ ὅτι οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως.* Idem ad *Γ*. 184. *ἡ διπλῆ ὅτι διαφέρει ἡ Φρυγία τῆς Τροίας καθ' Ὅμηρον, οἱ δὲ νεώτεροι συγχέουσιν.* Vide eundem ad *Π*. 719. *Σ*. 291.“ *Cobet.*

V. 41. [1] „Conf. scholia nostra ad Androm. vs. 880.“ *Cobet.* [2] Ven. τραυματισθῆναι εἰσαναπολεῖσθαι.

V. 69. [1] In textu: χθὼν. adscripto: γράφεται νύξ. [2] *Theogon.* vs. 212. [3] „Scrib. δέ.“ Cobet.

ἡγεῖσθαι τῶν Ἀθηναίων[1]. Διονύσιος γοῦν ὁ τὸν Κύκλον ποιήσας φησί· Δημοφῶν δὲ ὁ Θησέως ἐδεῖτο αὐτῶν δοῦναι Αἴθραν τὴν Πιτθέως τὴν τοῦ πατρὸς μητέρα, ὅπως αὐτὴν κομίσωσιν οἴκαδε. Μενέλαος δὲ πρὸς Ἑλένην πέμπει Ταλθύβιον κελεύσας ἄγειν Αἴθραν καὶ Ἑλένη δωρησαμένη Αἴθραν παντοδαπῷ κόσμῳ ἀποστέλλει πρὸς Δημοφῶντα καὶ Ἀκάμαντα. Ἑλλάνικος δέ φησιν αὐτοὺς ἐστρατευκέναι, ὅπως εἰ μὲν ἕλοιεν Ἴλιον λάφυρον αὐτὴν λάβοιεν, εἰ δὲ μὴ κἂν λυτρώσαιντο δώροις. ἦσαν δὲ καὶ μετὰ Χαλκώδοντος ἐν Εὐβοίᾳ:— V.

V. 129. Κόπις: ὁ λάλος ὅθεν καὶ κόβαλος ο κομψός.

καὶ μὴν κόβαλά γ' ἐστὶν[1], ὡς καὶ σοὶ δοκεῖ.

κοπίδας τε τὰς τῶν λόγων τέχνας ἄλλοι τε καὶ Τίμαιος οὕτως γράφει· ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν εὑράμενον τῶν ἀληθινῶν κοπίδων μηδὲ τὸν ὑφ' Ἡρακλείτου κατηγορούμενον ἀλλ' αὐτὸν τὸν Ἡράκλειτον εἶναι τὸν ἀλαζονευόμενον. τὰ περίεργα[2] γὰρ τῶν λόγων καὶ τὰ κατεστωμυλμένα[3] κόβαλα ἔλεγον, ὡς Ἀριστοφάνης ἐν Βατράχοις·

κόβαλά γ' ἐστὶν[4], ὡς καὶ σοὶ δοκεῖ:— V.

V. 240. ἔγνω δέ σ' Ἑλένη: ἀπίθανον τὸ πλάσμα καὶ οὐχ Ὁμηρικόν[1]. οὐ γὰρ ἂν ἐσίγησεν Ἑκάβη πολέμιον θεασαμένη κατοπτεύοντα τὰ κατὰ τοὺς Τρῶας πράγματα. ἡ δὲ Ἑλένη εἰκότως:— V.

V. 285. ἀποκτείνειν φθόνος γυναῖκας) — σημειωτέον δὲ ὅτι τὸν φθόνον νῦν ἐπὶ τοῦ μώμου τίθησιν ὡς ἐν Θησεῖ·

V. 119. [1] Cod. ἀθηνῶν.

V. 129. [1] Cod. γάρ ἐστιν. Aristophanes Ran. 104. [2] Cod. πάρεργα. [3] Cod. κατεστωμυλημένα. [4] Cod. γάρ ἐστιν. Conferri jubet Cobet. cum hoc scholio Etymolog. Magnum v. κόπις.

V. 240. [1] Cod. ὅμηρος.

καίτοι φθόνου μὲν[1] μῦθον ἄξιον φράσω:— V.

V. 285. ἀποκτείνειν φθόνος γυναῖκας: φθόνος μέμψις. σημειωτέον[1] δὲ ὅτι ἀντὶ τοῦ μώμου νῦν φθόνον τίθησιν, ὡς ἐν Θησεῖ·

καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω[2].

ἄλλως. — σημειωτέον δὲ ὅτι τὸν φθόνον ὠδὶ[3] ἀντὶ τῆς μέμψεως εἴρηκεν Εὐριπίδης, ὡς ἐν Θησεῖ[4]·

καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω.

ἤτοι μέμψεως ἄξιον:— R.

V. 320. πρεσβῦται) τὸ χ πρὸς τὴν συγκοπήν, πρεσβύτεραι γὰρ ἔδει εἰπεῖν, σοῦ οὐδὲν ἧσσον ἄθλιαι:— V.

V. 365. κάσιν) τὴν κάσιν. Ἀνακρέων·

οὔτε μὴν ἁπαλὴν κάσιν.

σεσημείωται δὲ ὅτι τὴν θήλειαν κάσιν ἐποίησεν, εἰ μὴ ἀποκοπὴ κασιγνήτης. V.

V. 365. κάσιν: τὴν κάσιν, ὡς Ἀνακρέων λέγει·

οὔτε μὴν[1] ἁπαλὴν κάσιν.

σεσημείωται δὲ ὅτι τὴν θήλειαν κάσιν εἶπεν, εἰ μὴ ἀποκοπὴ ἐγένετο τοῦ κασιγνήτην:— R.

V. 462. τᾶς καλλιδίφρου Ἀθαναίας: οὐ μόνον γὰρ παρθένοι ὕφαινον, ὥς φησιν Ἀπολλόδωρος ἐν τῇ περὶ θεῶν αὐλῆς[1], ἀλλὰ καὶ τέλειαι γυναῖκες, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλῳ. ὅτι δὲ κρόκινός ἐστι καὶ ὑακίνθινος[2] καὶ τοὺς Γίγαντας ἐμπεποίκιλται δηλοῖ Στράττις. τοῦτον δὲ ἀνιέρουν διὰ πενταετηρίδος ἐν τοῖς παναθηναίοις:— V.

V. 467. ἢ Τιτάνων γενεὰν: ἀντὶ τοῦ γιγάντων. ὑποσυγχέουσι δὲ τὴν ἐν ἑκατέροις διαφοράν. καὶ Καλλίμαχος·

V. 285. [1] Cod. μὲν φθόνου. [Versus, qui hic ex Eurip. Thes. affertur, adhuc ignotus erat.]

V. 285. [1] Cod. σημεῖον. [2] Cod. φράσαι. [3] Sic codex. Scribe ὧδε vel ὡδί. [4] Cod. ὡς εἰ.

V. 365. [1] Cod. τότε μ᾽.

V. 462. [1] „αὐλῆς fortasse delendum.“ Cob. [2] Cod. ἀκάνθινος.

Ἦχι πάλους ἐβάλοντο[1] διεκρίναντο δὲ τιμὰς
πρῶτα γιγαντείου[2] δαίμονες ἐκ πολέμου. V.

V. 569. φύλλοις ἔβαλλον: τοῦτο παρὰ τοὺς χρόνους. Ἐρατοσθένης γὰρ περὶ τῆς φυλλοβολίας φησὶν ὡς πάλαι χωρὶς ἄθλων ἀγωνιζομένων τῶν ἀνθρώπων τῷ νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔρριπτον τῶν θεατῶν ὅπως ἕκαστος ηὐπόρει. οἱ μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα, τῶν δὲ λοιπῶν οἱ μὲν ἔγγυς καθήμενοι στεφάνους ἐπετίθεσαν, οἱ δὲ ἀνωτέρω τοῦτο ὅπερ ἦν λοιπὸν, ἔβαλλον τοῖς ἄνθεσι καὶ φύλλοις. καὶ νῦν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις προβάλλουσι χιτῶνας, πετάσους, χιτωνίσκους, κρηπῖδας. διὸ δὴ σύνηθες ἦν κύκλῳ περινοστοῦντας ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἐν ἀγώνισμα κατὰ τὴν Ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δωρεῶν δόσις. πολυπλασιαζομένων δὲ τούτων ταῦτα ἐμειοῦτο εἰς πολλὰ καταμεριζόμενα καὶ τέλος ἡ φυλλοβολία κατελείφθη. ταῦτα οὖν παρὰ τοὺς χρόνους Εὐριπίδης. ὀψὲ γάρ ποτε ὁ ἀγερμὸς τῆς φυλλοβολίας ἀπεδείχθη[1]. φυλλοβολεῖται δὲ Πολυξένη ὥσπερ ἐν ἀγῶνι νικήσασα. ἐφυλλοβολοῦντο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ καὶ προείρηται:— VR.

V. 821. ἢ Δαιδάλου τέχναισιν: — Κρατῖνος ἐν Θρᾴτταις· πανὶ κακὸν δεῦρο μαστεύων. τίνα ποτε χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον. πρὸς ἣν οὐδαμῶς ξύλινος ἐκεῖνος ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα πότερον δαιδάλειος ἦν ἢ τις ἐξέκλεψεν αὐτόν. καὶ Πλάτων·

οὐκ ἐρεῖς;
Ἑρμῆς ἔγωγε Δαιδάλου, φωνὴν ἔχων,
ξύλινος βαδίζων αὐτόματος ἐλήλυθα:— V.

V. 830. τὰς ἀνάγκας οἱ νόμοι διώρισαν:— ὁ δὲ Δίδυμος οὕτως[1]· μᾶλλον ὤφειλεν

V. 467. [1] Cod. πάλλους ἐβάλλοντο. [2] Cod. γιγαντίου.
V. 569. [1] Vat. ἐπεδείχθη.
V. 830. [1] Cod. οὗ.

εἰπεῖν ὅτι τοὺς νόμους αἱ ἀνάγκαι διορίζουσιν. αἱ γὰρ ἀνάγκαι καὶ τῶν νόμων εἰσὶν ἐπικρατέστεραι, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. καὶ νῦν οὖν τοὐναντίον εἶπεν:— V.

V. 892. ἀπὸ δὲ στεφάναν κέκαρσαι: Καλλισθένης ἐν δευτέρῳ[1] τῶν Ἑλληνικῶν οὕτως γράφει· ἑάλω μὲν ἡ Τροία Θαργηλιῶνος μηνὸς, ὡς μέν τινες[2] τῶν ἱστορικῶν ν[3] ἱσταμένου, ὡς δὲ ὁ τὴν μικρὰν Ἰλιάδα[4] ὀγδόῃ[5] φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν φάσκων συμβῆναι τότε τὴν κατάληψιν ἡνίκα

Νὺξ μὲν ἔην μέσση[6] λαμπρὰ δ' ἐπέτελλε σελήνη.

μεσονύκτιος δὲ μόνον τῇ ὀγδόῃ φθίνοντος ἀνατέλλει, ἐν ἄλλοις[7] δ' οὐ συμπεφώνηκεν Εὐριπίδης ὡς ὁμολογουμένης τῆς δόξης. Λυσίμαχος δέ φησι Δημοφῶντος Ἀθήνησι βασιλεύοντος ἔτους τετάρτου Θαργηλιῶνος ἱσταμένου δωδεκάτῃ[8]:— V.

V. 915. λιποῦσα Δωρὶς ὡς κόρα: Δοῦρις ἐν τῷ δευτέρῳ τῶν Ὡρῶν[1] γράφει[2] οὕτως· κατὰ δὲ τοῦτον τὸν χρόνον ὑπὸ Αἰγινητῶν Ἀθηναῖοι κατὰ θάλατταν ὀχλούμενοι πέμπουσι πεζοὺς εἰς τὴν νῆσον ὑπολαμβάνοντες, ἂν φθάσωσι πεζοὺς ἀποβιβάσαντες[3], πολλὰ ἂν βλάψαι τὴν Αἴγιναν. Οἱ δὲ ἐπεξελθόντες, ἔτυχον γὰρ αὐτοῖς προκαταπεπλευκότες[4] τῶν Σπαρτιατῶν τινὲς, τοὺς Ἀθηναίους ἁπαντῶντας ἀπέκτεινον πλὴν ἑνός. τοῦτον δὲ ἀπέστειλαν ἀπαγγελοῦντα. τὸν δὲ ὡς ἦλθεν περιέστησαν αἱ τῶν τεθνεώτων γυναῖκες αἱ μὲν ἐρωτῶσαι τοὺς ἄνδρας τί γεγόνασιν, αἱ δὲ τοὺς υἱοὺς, αἱ δὲ τοὺς ἀδελφούς. ἐτύγχανον δὲ φοροῦσαι[5] κατ' ἐκεῖνον

V. 892. [1] Cod. ἐν $\overline{\beta}$. [2] ὡς μέν τινες *Cob.* ὡς μέντοι Cod.' [3] Fortasse δεκάτῃ. *Cob.* [4] Excidit: ποιήσας. *Cob.* [5] Cod. ὀγδόην. [6] Cod. μέση. [7] Cod. ἀνατέλειεν ἄλλη. [8] Fort. δεκάτῃ. *Cob.*

V. 915. [1] Cod. ἐν τῇι $\overline{\iota\beta}$ τῶν ὡρῶν. $\overline{\alpha}$ adscriptum in *talibus solet* adhaerere vel male repeti ad sequentem numeri notam.“ *Cob.* [2] Cod. γὰρ. [3] Cod. ἀποβάντες. „non addidi ἄν.“ *Cob.* [4] Cod. προσκαταπεπλευκότες. [5] Cod.

τὸν χρόνον Δωρίδα[6] στολήν. τὰς περόνας οὖν ἀπὸ τῶν ὤμων ἐλκυσάμεναι τὸν ἄνθρωπον πρῶτον ἐξετύφλωσαν εἶτα ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι μεγάλην ἠγήσαντο συμφορὰν τὸ γενόμενον πάθος. ἔδοξε δὲ αὐτοῖς περιελέσθαι τῶν γυναικῶν τὰς περόνας, ἐπεὶ γὰρ εἰς ὁπλισμὸν αὐταῖς περιέστησαν οὐ φυλακὴν τῆς ἀμπεχόνης. πάντων δὲ ἰδιαίτατον συνέβαινεν ἐπὶ τῶν Ἀθηναίων. Οἱ μὲν γὰρ κόμας ἐφόρουν, αἱ δὲ γυναῖκες ἐκείροντο, καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον[7] ἐν τῇ Δωρίδι στολῇ, διόπερ καὶ ἕως ἡμῶν πολλοὶ τοὺς ἀχίτωνας δωριάζειν[8] ἔφασαν:—

Αἱ Λακεδαιμόνιαι κόραι διημερεύουσιν ἄζωστοι καὶ ἀχίτωνες, ἱματίδιον ἔχουσαι πεπορπημένον ἐφ' ἑκατέρου τῶν ὤμων. καὶ Καλλίμαχος·

Ἔσκεν ὅτ' ἄζωστος χἀτερόπορπος ἔτι[9].

καὶ τῶν ἐν ταῖς ἀρχαίαις γραφαῖς οὐκ ὀλίγαι ὅτ' ἔσταλται[10]. Καὶ δωριάζειν τὸ γυμνὰς[11] φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων·

ἐκδῦσα χιτῶνα δωριάζειν:—

Ἄλλως. ὑπὸ Αἰγινητῶν πειρατευόμενοι[12] Ἀθηναῖοι στρατιὰν κατ' αὐτῶν ἀποστέλλουσιν. οἱ δὲ ἅμα Σπαρτιάταις ἅπαντας ἀπέκτειναν. εἷς δὲ σωθεὶς ὑπέστρεψεν ἄγγελος, ὃν ὑπαντήσασαι τῶν τεθνεώτων αἱ γυναῖκες καὶ ἀφελόμεναι τὰς περόνας τῶν ὤμων τυφλώσασαι πρῶτον ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι ἡγησάμενοι δεινὸν περιεῖλον τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὁπλισμὸν αὐταῖς ἐχρήσαντο οὐ φυλακὴν τῆς ἀμπεχόνης. καὶ αὐτοί γε ἐκόμων, αἱ δὲ γυναῖκες ἐκείροντο. καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν οἱ χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ἐν ταῖς Δωρικαῖς στολαῖς. διὸ καὶ μέχρι ἡμῶν τὰς ἀχίτωνας δωριάζειν ἔφασαν:— V.

φέρουσαι. [6] Cod. δοριαδα. [7] Cod. ἔβρυον. [8] Cod. δωρίζειν. [9] Cod. χ' ἀτερόπορπος· ἔτι δὲ καὶ τῶν. [10] „Fort. scrib. οὕτως εἰσὶν ἐσταλμέναι.“ Cob. [11] Cod. γυμνουμένους. [12] Cod. στρατευόμενοι.

V. 1255. καὐτὸν σὲ τοῦτον: οἱ νεώτεροι μὴ νοήσαντες τὸ παρ' Ὁμήρῳ[1].

Δειπνίσσας[2], ὡς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ ὅτι ἀνθ' ὧν ἔδει μετὰ τοὺς πόνους ἀπολαύσεως τοῦτον τυχεῖν *[3] ὡς βοῦν ἀπέκτεινεν ἡ Κλυταιμνήστρα προσέθηκαν ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειωτέον ἐνταῦθα τὸ·

καὐτὸν σὲ[4] τοῦτον πέλεκυν ἐξάρασ' ἄνω:— V.

ΕΙΣ ΤΟΝ ΟΡΕΣΤΗΝ.

(E Codicibus VR.)

V. 81. Ἑλένη, τί σοι λέγοιμ' ἄν: πρὸς πάσας τὰς ὕβρεις ἀντέθηκε τὸ Ἑλένη, ὅθεν καὶ χιάζεται ὁ στίχος. σεσημείωται γὰρ τὸ ὄνομα τῆς Ἑλένης. αἰνίττεται δὲ ὅτι πονηρῶς κερτομεῖ περὶ τούτων πυνθανομένη, περὶ ὧν παροῦσα ὁρᾷ:— V.

V. 86. σὺ δ' εἶ μακαρία: πλεονάζει τὸ ὑπαρκτικὸν ῥῆμα, ἵν' ᾖ· σὺ δὲ εἶ μακαρία καὶ ὁ ἀνὴρ ὁ σὸς μακάριος. εἰς τὸ πόσις τελεία στιγμή, τὸ δὲ ἑξῆς ἀπολύτως:— V.

V. 224. μεταβολὴ πάντων γλυκύ: προσυπακουστέον τῶν κακῶν. κεκωμῴδηται ὁ στίχος. τὸ γὰρ ἐξ ὑγιείας εἰς νόσον μεταβάλλειν οὐκ ἔστιν ἡδύ. φησὶ γοῦν[1] ὁ Κωμικός·

ὁ πρῶτος εἰπών· μεταβολὴ πάντων γλυκύ,
οὐχ ὑγίαινε, δέσποτ', ἐκ[2] μὲν γὰρ κόπου
γλυκεῖ'[3] ἀνάπαυσις, ἐξ ἁλουσίας δ' ὕδωρ,
καὶ τὰ τοιαῦτά*. ἦν δ' ἐκ[4] πλουσίου

V. 1255. [1] Cod. Ὁμήρου. [2] Cod. δειπνήσας Odyss. Δ. 535. [3] „Exciderunt nonnulla." *Cob.* [4] Cod. γε.

V. 224. [1] Vat. γάρ. [2] Ven. οὐχ ὑγιαίνει δέσποτα εἰς. Vat. οὐχ ὑγιαί δὲ ποσῶς ἐκ. [3] Ven. γλυκύτατ' ἀνάπαυσις. Vat. γλυκεῖα ἀνάπαυσις. [4] Ven. καὶ τὰ τοιαῦτα· ἦν δὲ

πτωχὸν γενέσθαι μεταβολὴ μὲν, ἡδὺ δ' οὔ.
ὥστ' οὐχὶ πάντων ἐστὶ[5] μεταβολὴ γλυκύ :— VR.

V. 226. κρεῖσσον δὲ τὸ δοκεῖν) — Σιμωνίδης φησί·

τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν[1] βιᾶται :— R.

V. 239. ἐπίσημον ἔτεκε Τυνδάρεως: Στησίχορός φησιν ὡς θύων[1] τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο[2], διὸ ὀργισθεῖσαν[3] τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους τὰς θυγατέρας αὐτοῦ ἐποίησεν. ἔχει δὲ ἡ χρῆσις οὕτως[4]·

Οὕνεκά ποτε Τυνδάρεως ῥέζων ἅπασι[5] θεοῖς μόνας λάθετ'[6] ἠπιοδώρου Κύπριδος. κείνα δὲ Τυνδάρεω κόρας[7] χολωσαμένα[8] διγάμους τε καὶ τριγάμους τίθησι καὶ λιπεσάνορας[9]. καὶ Ἡσίοδος[10]·

τῇσιν[11] δὲ φιλομμειδὴς[12] Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα[13] κακὴν δέ σφ' ἔμβαλε φήμην[14].
Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον[15] προλιποῦσ ἐβεβήκει,
ἵκετο δ' εἰς Φυλῆα[16], φίλον μακάρεσσι θεοῖσιν[17].

εἰς. Vat. καὶ τὰ τοιαῦτα. ἢν δὲ ἐκ. [5] Ven. ἡδὺ δ' οὔ. οὕτως οὐχὶ πάντων ἐστί. Vat. ἡδὺ δὲ οὔ. ὥστε οὐχὶ πάντων ἡ.

V. 226. [1] Cod. τὴν ἀλήθειαν.

V. 239. [1] Ven. θεοῦ. [2] Codd. ἐλάθετο. [3] Ven. δι' ὃ ὀργισθεῖσα. [4] οὕτως om. Ven. „Nempe οὕτως scribitur οὔ, quod h. l. sequens syllaba absorpsit.“ *Cob.* [5] Ven. πᾶσι. [6] Ven. μιᾶς ἐπελάθετο. Vat. μόνης λη θτι [7] Ven. κούρας. Vat. κόραισι. [8] Codd. χολωσαμένη. [9] Vat. λειπεσάνορας. Ven. λιπεσίορας. „Nempe compendium syllabae αν adhaerens litterae σ vel τ vix ab ι differt.“ *Cob.* [10] Ven. ἡσίοδος δὲ. [11] Ven. τῇσι. Vat. ταῖσι. [12] Codd. φιλομειδὴς. [13] Ven. προϊδοῦσα. [14] Ven. δέ σφ' ἤμβαλε. Vat. δέ φησιν ἔβαλε. [15] Ven. τις ἀνδρὶ μένει. εἴτ' εχετον. „Unde veram lectionem: Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον eruit GEELIUS in Epistola ad GOETLINGIUM, quam vide in huius *praefatione ad Hesiodum* p. LX.“ *Cob.* Vat. πεισάνδρη μὲν ἔπειτ' ἔχετον. [16] Ven. ἵκετο δ' εἰσφιαία. „Correxit GEELIUS *ibid.*“ *Cob.* Vat. ἵκετο δ' ἐς φλῆα. [17] Ven. φίλον

ὡς δὲ[18] Κλυταιμνήστρη προλιποῦσ' [19] Ἀγα-
μέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην[20].
ὡς δ' Ἑλένη[21] ἤσχυνε λέχος ξανθοῦ Μενε-
λάου:— VR.

V. 245. ὦ μῆτερ) — τὰ συμβαίνοντα γὰρ τοῖς πάσχουσι τοῖς προεστῶσι θεοῖς τοῦ πάθους ἀνατιθέασιν οἱ ποιηταί. οἷόν τι καὶ Ὅμηρός φησι [Iliad. *I.* 499.]·

χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ.

ἐκ τῶν ἀποβαινόντων παθῶν εἰδωλοποιήσας αὐτάς. οὕτω καὶ τὸν Πλοῦτον τυφλὸν λέγουσιν ὅτι ἀκρίτως ποιεῖ πλουσίους καὶ τὸν καιρὸν ὀπισθοφάλακρον, ὅτι τοῦ παρωχημένου ἀδύνατον ἐπιλαβέσθαι. κωφὸν δὲ αὐτὸν ὁ Δημοσθένης φησὶν ὅτι μετακαλούμενος οὐχ ὑπακούει:— VR.

V. 258. δὸς τόξα μοι κερουλκὰ, δῶρα Λοξίου) Στησιχόρῳ[1] ἑπόμενος τόξα φησὶν αὐτὸν εἰληφέναι παρὰ Ἀπόλλωνος. ἔδει οὖν τὸν ὑποκριτὴν λαβόντα τοξεύειν. οἱ δὲ νῦν ὑποκρινόμενοι τὸν ἥρωα αἰτοῦσι μὲν τὰ τόξα, μὴ δεχόμενοι[2] δὲ σχηματίζονται τοξεύειν. εἰ δὲ ὁ μαινόμενος ἐπ' ἐνίων[3] ὑγιαίνει μὴ θαυμάσωμεν. ἡ γὰρ νόσος ποικίλη τῶν μεμηνότων, ὡς κἀν ταῖς Τρῳάσιν[4] ἡ Κασάνδρα·

τοσόνδε δ' ἐκτὸς στήσομαι βακχευμάτων:— V.

V. 269. γαλήν' ὁρῶ: κεκωμῴδηται ὁ στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν. οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφὴν ἐπιλείψαντος τοῦ πνεύματος τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῷον, ἀλλ' οὐχὶ τὰ γαληνά. πολλοὶ μὲν οὖν αὐτὸ

μακάρεσσι θεοῖσι. Vat. φίλον μακάρεσιν omisso θεοῖσι. [18] Ven. ὡς δὲ. [19] Codd. κλυταιμνήστρα λιποῦσ'. „Correxit GEELIUS.“ *Cod.* [20] Ven. χειρονακοίτην. [21] Ven. ὣδ ἑλέ'.

V. 258. [1] Cod. Στησίχορος. [2] Cod. ἐχόμενοι. [3] Cod. ὑπ' ἐνίων. [4] V. 369. τοσόνδε γ' ἔξω στήσομαι βακχευμάτων.

διέπαιξαν[1] τῶν Κωμικῶν, Ἀριστοφάνης καὶ Στράττις ἐν Ἀνθρωποραίστῃ[2]·

καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν,
Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον
διέκναισ' Ὀρέστην[3], Ἡγέλοχον τὸν Κυντάρου
μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

καὶ ἐν ἄλλοις παίζων φησί·

γαλῆν ὁρῶ. Β.[4] ποῖ, πρὸς θεῶν; ποῖ, ποῖ, γαλῆν;
Α. γαλήν'. Β. ἐγὼ δ' ὤμην σε γαλῆν λέγειν ὁρῶ[5].

καὶ Σαννυρίων ἐν Λανάῃ·

τί οὖν γενόμενος εἰς ὀπὴν ἐνδύσομαι;
ζητητέον. φέρ' εἰ γενοίμην* γαλῆ
ἀλλ' Ἡγέλοχος μ' ἐμήνυεν[6] ὁ τραγικὸς
ἀνακράγοι τ'[7] ἂν οὗτος εἰσιδὼν μέγα·
ἐκ κυμάτων γὰρ αὖθις αὖ[8] γαλὴν ὁρῶ·— VR.

V. 475. βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις· γράφεται ἀφ' Ἑλλάδος. εἰς παροιμίαν δὲ ὁ στίχος οὗτος ἐχώρησεν·— V.

V. 480. ὀργὴ γὰρ) — Σοφοκλῆς [Fragm. inc. 762. Dind.]·

Ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς[1],
ἐν χειρὶ θήγει, σὺν[2] τάχει δ' ἀμβλύνεται· VR.

V. 703. Ἄργους) — γράφεται δὲ καὶ χωρὶς τοῦ σ ἵν' ᾖ· Ἄργου γαῖα. Ἀριστοφάνης δὲ μετὰ τοῦ σ. V.

V. 730. οὐκ ἐκεῖνος ἀλλ' ἐκείνη· διαβάλλει ὡς γυναικοκρατούμενον αὐτὸν καὶ ὡς οὐκ

V. 269. [1] Ven. διέπεξαν. [2] Codd. ἀνθρωποπόρεστῃ. [3] Vat. δι' αἴκνεσ ὀρέστην. [4] Addidit interlocutorum notas *Cobet.* Ven. ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ· γαλήν' γαλῆνα. ἐγὼ δὲ. Vat. ποῖ πρὸς θεῶν ποῖ ποῖ χρῖμιεπαρα τον θέλημα ποιεῖν γαλῆν γαλῆνα ἐγὼ δὲ. [5] Vat. ὁρῖς:— in quo scholion finitur. [6] Ven. μεμήνυεν. Bergkius in Commentatt. p. 430. scripsit:

ἀλλ' Ἡγέλοχος οὗτός με μηνύσειεν ἄν
ὁ τραγικὸς ἀνακράγοιτ' ἄν.

[7] Ven. ἀναχράγοιτ' ἄν. [8] Ven. αὐθις γαλῆν.

V. 480. [1] Ven. κώπις. Vat. κόπις. [2] Codd. ἐν.

ἂν ἐληλυθότα εἰ μὴ παραγέγονεν ἡ Ἑλένη. κωμῳδεῖται δὲ ὁ στίχος διὰ τὴν πρᾳότητα:— V.

V. 859. καὶ θάσσοντ' ἄκραν: τόπος οὕτω καλούμενος. τὸν πρῶνα λέγει. ἐνταῦθά φασι τοὺς Ἀργείους ἐκκλησιάζειν. θάσσοντ' ἄκραν: φασὶ τὸν Δαναὸν ἐνταῦθα δεδωκέναι δίκας τῷ Αἰγύπτῳ ὑπὲρ ὧν εἰργάσαντο φόνων αἱ θυγατέρες αὐτοῦ. Ἄλλως. ὅπου φασὶ πρῶτον τὸν Δαναὸν μετὰ θάνατον τῶν υἱῶν Αἰγύπτου δοῦναι δίκας. αὐτὸς γὰρ ὁ Αἴγυπτος ἧκεν εἰς Ἄργος[1] τιμωρήσων τῷ φόνῳ. Δαναὸς δὲ μαθὼν ἐξῆγεν εἰς ὅπλα τοὺς Ἀργείους. ἀλλὰ Λυγκεὺς πείθει λόγοις ὁρίσασθαι τὴν ἔχθραν καὶ καθιστῶσι δικαστὰς αὐτοῖς Αἰγυπτίων καὶ Ἀργείων τοὺς ἀρίστους. ὁ δὲ τόπος ἔνθα ἡ δίκη συνήχθη περὶ τὴν μεγίστην ἄκραν, ἔνθα καὶ Ἴναχος ἁλίσας τὸν λαὸν συνεβούλευσεν οἰκίζειν τὸ πεδίον. ὁ δὲ τόπος ἐξ ἐκείνου ἁλία[2] καλεῖται:— V.

Ἄλλως. ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς Ἄργος καθάπερ ἄλλοι τε φασὶ καὶ Ἑκαταῖος γράφων οὕτως· ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος. παῖδας μὲν, ὡς μὲν Ἡσίοδος ἐποίησε, πεντήκοντα, ὡς[3] λέγω δὲ οὐδὲ εἰσί. καὶ Διονύσιος ὁ κυκλογράφος ἐν τῷ πρώτῳ[4] τὰ παραπλήσιά φησι. Φρύνιχος δὲ ὁ τραγικός φησι σὺν Αἰγυπτίοις τὸν Αἴγυπτον ἥκειν εἰς Ἄργος. λέγεται[5] δέ τις ἐν Ἄργει πρὼν, ὅπου δικάζουσιν Ἀργεῖοι. ἀλλ' οὐ παρῆκεν[6] ὁ Δαναὸς Αἰγύπτῳ δικάσασθαι. ἱστορεῖ δὲ περὶ τοῦ χωρίου Δεινίας ἐν τῷ πρώτῳ[7] τῆς πρώτης συντάξεως, ἐκδόσεως δὲ δευτέρας[8] γράφων οὕτως· ταχέως δὲ κυριεύσαντες τὸν Μελάγχρουν καὶ τὴν Κλεομήτραν βάλλοντες λίθοις[9] ἀπέκτειναν καὶ τὸν τάφον

V. 859. [1] Cod. τῶν υἱῶν ἧκεν εἰς ἄργος αἴγυπτος τιμωρήσων. Supplevit ex editis *Cobet*. [2] Codd. ἁλιαία. [3] Misere corrupta et mutila. [4] Cod. κυκλογραφεὺς ἐν τούτῳ. [5] Codd. λέγει. [6] Codd. παρήκει. [7] Codd. ἔνθα. [8] Ven. ἐκδόσεως δεύτερον. [9] Ven. μελάχαριν καὶ τὴν λίθοις.

Vat. τὸν μὲν λαν (χρ) καὶ τὴν κλεομήτραν βάλλοντες τοῖς, unde

αὐτῶν δεικνύουσι καὶ νῦν ἔτι ὑπεράνω τοῦ καλουμένου πρωνὸς[10] χῶμα παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ' ἂν αὐτοῦ καὶ ἐν Βελλεροφόντῃ μνημονεύοι εἰπών·

καὶ ξεστὸν ὄχθον Δαναϊδῶν ἑδρασμάτων
στὰς ἐν μέσοισιν εἶπε κηρύκων (ὕπο)[11]·— VR.

V. 891. ἀνήρ τις ἀθυρόγλωσσος· ταὐτά φασιν ἐπὶ Κλέωνι τῷ δημαγωγῷ λέγεσθαι, σφαλλόμενοι. πρὸ γὰρ τῆς τοῦ Ὀρέστου διδασκαλίας πολλοῖς χρόνοις ὁ Κλέων ἐτελεύτησε. τάχα οὖν εἰς Κλεοφῶντα τείνει, ἐπεὶ καὶ ἔναγχος οὗτος τὰς πρὸς Λακεδαιμονίους συνθήκας οὐ προσήκατο. καὶ τὸ λέγειν δὲ Ἀργεῖος οὐκ Ἀργεῖος εἰς τοῦτον βλέπει. θέλει γὰρ εἰπεῖν Ἀθηναῖον οὐκ Ἀθηναῖον ὄντα αὐτὸν ἀλλὰ νόθον πολίτην, παρόσον Θρᾷξ ἦν ὁ Κλεοφῶν[1]. Ἀριστοφάνης Βατράχοις·

Φιλοτιμότεραι Κλεοφῶντος ἐφ' οὗ δὴ χείλεσιν
ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρῃκία χελιδὼν ἐπὶ
βάρβαρον ἑζομένη πέταλον·— VR.

V. 1352. ἀλλὰ κτυπεῖ γάρ· ἐξιών τις ψορεῖ. τοῦτο γὰρ ἔθος ταῖς θύραις. τούτους δὲ τοὺς τρεῖς στίχους οὐκ ἄν τις ἐξ ἑτοίμου[1] συγχωρήσειεν Εὐριπίδου εἶναι, ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν, οἵτινες ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καθαλλόμενοι παρανοίξαντες ἐκπορεύονται τὸ τοῦ Φρυγὸς ἔχοντες σχῆμα καὶ πρόσωπον[2] ὅπως ἂν[3] διὰ θυρῶν εὐλόγως ἐξιόντες φαίνωνται[4]. ἐξ ὧν δὲ αὐτοὶ λέγουσιν ἀντιμαρτυροῦσι τῇ διὰ τῶν θυρῶν ἐξόδῳ. φανερὸν γὰρ[5] ἐκ τῶν ἑξῆς ὅτι ὑπερπεπήδηκεν·— V.

---

scripsit τὸν Μελάγχρουν *Cobet.* [10] Ven. πρώνου. [11] ὑπὸ adjecit *Cobet.*

V. 891. [1] Codd. ἐκδελφῶν ὁ κλέων. „In ΕΚΔΕΛΦΩΝ latere ὁ Κλεοφῶν vidit Ruhnkenius in H. C. O. p. XLV.“ *Cobet.*

V. 1352. [1] Cod. ἑτυμου. [2] „Fort. προσωπεῖον.“ *Cob.* [3] Cod. ὅμως οὖν. [4] Cod. qαίνονται. [5] Cod. δέ.

V. 1373. Ἀπολλωνίων) — τῶν ἀπολωλότων, ὡς ἐν τῷ Φαέθοντί φησιν·

ὦ καλλιφεγγὲς Ἥλι' [1], ὥς μ' ἀπώλεσας
καὶ τόνδ' [2]. Ἀπόλλω σ' [3] εἰκότως κλήζει βροτός [4]:— V.

V. 1632. ναυτίλοις σωτήριος) ὅτι καὶ ἡ Ἑλένη τοῖς χειμαζομένοις κατὰ θάλατταν ἐπήκοός ἐστι κατὰ Εὐριπίδην σεσημείωται. ὁ μέντοι Σωσίβιος ἔμπαλιν οἴεται οὐκ εὐμενῶς αὐτὴν ἐπιφαίνεσθαι. Πολέμων δὲ καὶ ἐν τῷ τετάρτῳ τῶν [1] πρὸς Ἀναξανδρίδην τὴν μὲν τοῖν δυοῖν ἀστέροιν ἐπιφάνειαν τῶν Διοσκούρων [2] ἀνωμολογῆσθαι, τὴν δὲ τῶν λεγομένων Ζοβείρων [3]. VR.

V. 1640. ἐνιαυτοῦ κύκλον: ἰδίως ὁ Εὐριπίδης ἐνιαυτίσαι τὸν Ὀρέστην ἐκεῖ φησιν:— Ἄλλως· ποιήσαντα κύκλον ἐνιαυτοῦ. ὡς ὁ μὲν Εὐριπίδης ἐνθάδε ἐξενιαυτίσαι τοὺς κατεχομένους ἐπιλύσει. ὁ δὲ Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως δηχθέντα αὐτὸν ἐκεῖ τελευτῆσαι. ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ ἵζει ἱκέτης πρὸς τῷ βωμῷ, αἱ δὲ Ἐριννύες ἔρχονται ἐπ' αὐτὸν θέλουσαι ἀποκτεῖναι. καὶ ἐρύκει αὐτὰς ἡ Ἄρτεμις, ἐξ οὗ καὶ ἡ πόλις αὕτη Ὀρέστειον καλεῖται ἀπὸ Ὀρέστου. τὸ δὲ Ὀρέστειον τῆς Παρρασίας κεχώρισται. καὶ αὕτη πόλις οὖσα τῆς Ἀρκαδίας καὶ κληθεῖσα ἀπὸ Ὀρέστου:— V.

V. 1686. ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον ἢ εἰς πάθος καταλύει [1], ἡ δὲ τῆς κωμῳδίας εἰς σπονδὰς καὶ διαλλαγάς. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον. διαλλαγαὶ γὰρ πρὸς Μενέλαον [2]. ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ

V. 1373. [1] Cod. Ἴλιον. [2] Cod. καὶ τοῦδ'. [3] Cod. ἀπόλλων. [4] Cod. βροτῶς.

V. 1632. [1] Cod. ἐν τῷδε τῷ πρὸς. [2] Hucusque Venetus. [3] „Exciderunt nonnulla.“ Cob.

V. 1686. [1] Vat. καταλήγει. [2] Vat. μενέλαον καὶ δι-

συμφορῶν εἰς εὐφροσύνην καὶ ἀναβιώτην[3] ὁμοίως καὶ ἐν Τυροῖ[4] Σοφοκλέους ἀναγνωρισμὸς κατὰ τὸ τέλος γίνεται καὶ ἁπλῶς εἰπεῖν πολλὰ τοιαῦτα ἐν τραγῳδίᾳ εὑρίσκεται:— VR.

ΕΙΣ ΤΑΣ ΦΟΙΝΙΣΣΑΣ.

(E Codicibus VR.)

V. 61. εἰς ὄμμαθ' αὐτοῦ:— πῶς δὲ, φασὶν, ἡ Ἰοκάστη μετὰ τοιαῦτα καὶ τοσαῦτα δυστυχήματα ἔζη; ῥητέον ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλόν. Μένανδρος[1].

ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως,
ἀεὶ δὲ τοῖς παροῦσι δακρύοις ἐμποιεῖ
τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τῷ πάθει:— VR.

V. 159. ἑπτὰ παρθένων) καὶ Σοφοκλῆς ἐν Νιόβῃ ἑπτά φησιν αὐτὰς εἶναι καὶ τοὺς ἄρσενας:— Ἄλλως. Ἀντίγονος. Ἀριστόδημος οὐδαμοῦ φησιν ἐν ταῖς Θήβαις τῶν Νιοβιδῶν εἶναι τάφον, ὅπερ ἐστὶν ἀληθές. V.

V. 227. ὑπὲρ ἄκρων βακχείων: — Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῆς ἐν Παρνασῷ λέγων οὕτως·

ἔστι γάρ τις ἐναλία
Εὐβοὶς αἶα[1], τῇδε βάκχειος βότρυς
ἐπ' ἦμαρ ἕρπει, πρῶτα μὲν λαμπρᾶς ἕω[2]
κεκλημάτωται χλωρὸν[3] εὐανθὲς δέμας,
εἶτ' ἦμαρ αὔξει μέσσον[4] ὄμφακος τύπον
καὶ κλίνεταί γε κἀποπερκοῦται[5] βότρυς,

„Scrib. διαλλάσσεται γὰρ πρὸς Μενέλαον ὁ Ὀρέστης.“ Cob. [3] Vat. ἀναβιοτὴν. Corrupte uterque. [4] Uterque cod. τύροις.

V. 61. [1] Ven. μεναν. Vat. μὲν ἀνδρός. [2] Ven. νουνεχῶς. Vat. νοῦν ἔχουσα.

V. 227. [1] „Sic correxi vitiosam Codicum lectionem: εὐβοήσασα.“ Cob. [2] Ven. λαβρωδέω. Vat. λαβράσως. Correxit Valckenarius. [3] Codd. χῶρον. [4] Ven. ἡμαρόῦμ μέσον. Vat. ἦμαρ ἄξει μ. [5] Ven. κ' ἀποπερκοῦται.

δείλης[6] δὲ πᾶσα τέμνεται βλαστουμένη
καλῶς ὀπώρα[7] κἀνακίρναται[8] ποτόν:— VR.

V. 682. σοί νιν ἔκγονοι:— γράφεται καὶ σῷ νιν ἐκγόνῳ κτίσαν, ἵν' ᾖ τῷ ἐκγόνῳ σου, Ἔπαφε, τῷ Κάδμῳ αἱ θεαὶ κατέκτισαν τὰς Θήβας· γέγονε δὲ περὶ τὴν γραφὴν ἁμάρτημα. ἄρχοντος γὰρ Ἀθήνησιν Εὐκλείδου μήπω τῶν μακρῶν εὑρημένων τοῖς βραχέσιν ἀντὶ μακρῶν ἐχρῶντο, τῷ ε[1] ἀντὶ τοῦ η καὶ τῷ ο ἀντὶ τοῦ ω. ἔγραφον οὖν τὸ δήμῳ μετὰ τοῦ ο δήμοι. μὴ νοήσαντες δὲ ὅτι κατὰ τὴν ἀρχαίαν γραφήν ἐστι καὶ δεῖ μεταθεῖναι τὸ ο εἰς τὸ ω ἐτάραξαν τὸ νοητόν. V.

V. 682. σοί νιν ἔκγονοι κτίσαν: ὁ σὸς ἔκγονος Κάδμιος, ὦ Ἔπαφε[1], τὰς Θήβας ἔκτισεν ἐν τούτῳ τῷ τόπῳ ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν. δεδόσθαι γὰρ τὰς Θήβας ὑπὸ Διὸς τῇ Περσεφόνῃ ἀνακαλυπτήρια, ὡς Εὐφορίων ανιν ὁπλιοις[2].

ἀλλ' οὕπω Θήβῃ πεπρωμένα κεῖτο τάλαντα
τήν ῥα τότε Κρονίδης δῶρον πόρε Περσεφονείῃ
ᾗ γαμετῇ, ὅτε πρῶτον ὀπωπήσεσθαι[3] ἔμελλε
νυμφιδίου σπείροιο παρακλίνασα καλύπτρην:— V.

V. 852. κόπῳ πάρειμι γοῦν (sic): γράφεται παρεῖμαι ἀντὶ τοῦ ἐκλέλυμαι τὰ γόνατα τῷ κόπῳ:— V.

V. 886. ἐκεῖνο μὲν γὰρ: ἔθος ποιητικὸν τὸ ἀπὸ τοῦ γάρ ἄρχεσθαι. Ὅμηρος[1]·

ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν[2], ὅπη ζόφος.

---

[6] Codd. δείλη. [7] Codd. ὀπώρα καλῶς. [8] Ven. κανακίρναται. Ven. καπνίρνᾶται.

V. 682. [1] „Cod. ε, quod servari potest, si scribatur εῖ et mox οῦ pro ο: nam sic ε et ο ab antiquioribus appellantur.“ *Cob.*

V. 682. [1] Cod. ὁ ἐπάφου. [2] „Cod. αν cum compendio syllabae ιν. in ὀπλιοις littera π non satis apparet.“ *Cob.* [3] Cod. ὀπωπήσασθαι.

V. 886. [1] Odyss. K. 190. [2] Vat. οὐδέ τι ἴδμεν.

„*Apparet antiquum Grammaticum*, qui hoc scholion scri-

καὶ
ὦ φίλοι[3], ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἰστόν.
καὶ Μένανδρος·
ἐκ γειτόνων οἰκῶ[4] γάρ, ὦ τοιχωρύχε:— VR.

V. 1130. σιδηρονώτοις) πῶς οὖν ἀνωτέρω εἶπε·
λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν.
ἐν δὲ τῇ Ἀντιγόνῃ λέγει χρυσόνωτον[1] ἀσπίδα τὴν Καπανέως. V.

V. 1194. ἄξονές τ' ἐπ' ἄξοσι: καὶ παρ' Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ·
ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρὸς[1],
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι[2]:— VR.

V. 1256. ῥήξεις τ' ἐνώμων:— Σοφοκλῆς ἐν Μάντεσι·
τὰς μαλλοδέτας κύστεις:— VR.

V. 1377. ἐπεὶ δ' ἀφείθη: πρὸ γὰρ τῆς εὑρέσεως τῆς σάλπιγγος ἐν ταῖς μάχαις καὶ τοῖς μονομαχοῦσιν ἐν μέσῳ τις λαμπάδα καιομένην ἔρριπτεν, σημεῖον τοῦ κατάρξασθαι τῆς μάχης. τούτῳ οὖν τῷ σημείῳ ἀντὶ σάλπιγγος κἀν τοῖς περὶ Ἐτεοκλέα χρόνοις ἐχρῶντο. ὕστερον δὲ μετὰ τὰ Τρωικὰ καὶ τὴν εἰς γῆν Ῥωμαίαν Αἰνείου κατοίκησιν Τυρρηνοὶ τὴν σάλπιγγα ἐφεῦρον ἐν τοῖς Ἰταλικοῖς πολέμοις, ὅθεν καὶ Τυρρηνὶς ἡ σάλπιγξ ἐκλήθη. τὸ οὖν τούτῳ αὐτὸν χρῆσθαι ἀντὶ σάλπιγγος ἀφ' ἑαυτοῦ ἐμφαίνων ὁ ποιητής φησιν. οὐ γὰρ δεῖ εἰς τὸ τοῦ ἀγγέλου πρόσ-

---

psit (Aristophanem Byzantinum esse suspicor) non legisse apud Homerum importunum versum 189:
κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι.
scholion Harleianum ad h. l. Καλλίστρατός φησιν (e commentariis Aristophanis) ὡς ὑπό τινος ὁ στίχος προτέτακται ἀγνοοῦντος τὸ Ὁμηρικὸν ἦθος, ὡς θέλει ἄρχεσθαι ἀπὸ τοῦ γάρ:—" *Cod.* [3] Odyss. *K.* 226. [4] Vat. οἶκων.

V. 1130. [1] Cod. χρυσεόνωτον.

V. 1194. [1] Vat. νεκρῶν νεκροὶ. [2] Vat. ἐκπεφυγμένοι. *Ven. ἐκπεφ..μένοι.* Correxit Valckenarius.

ωπον τοῦτο ἀναφέρεσθαι. εἴγε ὅλως οὔπω ἤδεσαν τὴν σάλπιγγα:— V.

ΕΙΣ ΤΗΝ ΜΗΔΕΙΑΝ.
(E Codice R.)

V. 2. Συμπληγάδας) — τὰς δὲ Συμπληγάδας ὁ Σιμωνίδης συνορμάδας[1] φησίν. εἰσὶ δὲ πέτραι ἐπὶ τῷ στόματι τοῦ Πόντου στεναὶ τὸ διάστημα, δι' ὧν ἔξεισιν ἡ θάλασσα ἀπὸ τοῦ Πόντου εἰς τὸν Ἑλλήσποντον. Ἐρατοσθένης δ' ἐν τῷ τρίτῳ τῶν γεωγραφουμένων φησὶ περὶ αὐτῶν[2]· Καλοῦνται δὲ Συμπληγάδες οὕτως. καθ' ὃν καιρὸν ἄν τις πρὸς τὰ δεξιὰ ἐκκλίνῃ σφόδρα φαντάζεται τὰς πέτρας συναγομένας, ὅταν δὲ κατὰ μέσον ὁρᾷ διϊσταμένας καὶ ἔμπαλιν εἰς τὰ ἀριστερὰ διαλλάξας ὁρᾷ συντρεχούσας. τούτου δὲ πολλάκις γενομένου Συμπληγάδας αὐτάς φησι κεκλῆσθαι διὰ τὴν συνδρομὴν καὶ[3] διάστασιν τῆς φαντασίας. οἱ δὲ νεώτεροι τὰς παρ' Ὁμήρῳ πλαγκτὰς[4] ὑπενόησαν εἶναι:—

V. 1016. εὐνὰς ἀγῆλαι: Φρύνιχος ἀγῆλαι ἀντὶ τοῦ εὔξασθαι καὶ παρ' Ἀριστοφάνει[1]·

διὰ παντὸς ὦ
δέσποτ' ἀγαλοῦμεν ἡμεῖς ἀεί.

καὶ Ἕρμιππος Ἀρτοπώλισιν·

φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἔσω[2].

δηλοῖ καὶ τὸ τιμῆσαι. ἄγειν γὰρ τὸ τιμῆσαι[3] φησὶν ἐν πρώτοις ἐγώ καὶ·

ἠγόμην δ' ἀνὴρ
ἀστῶν μέγιστος[4] τῶν ἐκεῖ.

ἢ ἀγῆλαι ἀντὶ τοῦ παρασκευάσαι καὶ συναγαγεῖν:—

V. 2. [1] Cod. συναρβώδας. [2] Cod. περὶ αὐτοῦ. [3] Cod. om. καὶ. [4] Cod. πλακτάς. Odyss. *M.* 61.

V. 1016. [1] In Pace vs. 393. [2] Cod. εἶσω ἰοῦσ. [3] „Misere corrupta et mutila. Latent in his poetarum laciniae." *Cob.* [4] Cod. μέγιστοι. [Versus, qui hic sine auctore apponitur, est Sophocleus ex Oed. Tyr. v. 775. *Cob.*]

ΕΙΣ ΤΟΝ ΙΠΠΟΛΥΤΟΝ.
(E Codicibus VR.)

V. 30. πέτραν πάρ' αὐτὴν Παλλάδος) — πέτραν δὲ Παλλάδος φησὶ τὸ ἐν τῇ Ἀττικῇ Γλαυκώπειον, οὗ Καλλίμαχος ἐν Ἑκάλῃ[1] μέμνηται. V.

V. 67. ἕπεσθ' ἀείδοντες: τοῦτο ἔνιοι μὲν τὸν Ἱππόλυτόν φασιν ᾄδειν. ἄμεινον δὲ τοὺς ἑπομένους τῷ Ἱππολύτῳ ἀπὸ τῶν κυνηγεσίων ταῦτα λέγειν. ἕτεροι δέ εἰσι τοῦ χοροῦ, καθάπερ ἐν τῷ Ἀλεξάνδρῳ[1] ποιμένες. ἐνταῦθα μὲν οὖν δύναται προαποχρήσασθαι τοῖς ἀπὸ τοῦ χοροῦ. ἐκεῖ δὲ συνεστῶτος τοῦ χοροῦ ἐπεισάγει τὸ ἄθροισμα, ὡς καὶ ἐν τῇ Ἀντιόπῃ δύο χοροὺς εἰσάγει[2] τόν τε Θηβαίων γερόντων διόλου καὶ τὸν μετὰ Δίρκης. ὥστε βέλτιστον ἐπιγράφειν· Χορὸς νεανιῶν συγκυνηγούντων Ἱππολύτῳ[3], ὅπου γε καὶ αὐτὸς προστάττει αὐτοῖς ᾄδειν τὴν Ἄρτεμιν λέγων· ἕπεσθ'[4] ἀείδοντες:— V.

V. 103. ἄλλοισιν ἄλλος: διαφόροις, φησὶν, ἀνθρώποις ἄλλος θεῶν καὶ ἄλλος ἀνθρώπων ἐν φροντίδι ἐστίν. καὶ Ὅμηρος [Iliad. B. 400]·

ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων:— V.

V. 170. τόνδ' ἐκκομίζουσ': τοῦτο σεσημείωται τῷ Ἀριστοφάνει ὅτι καίτοι τῷ ἐκκυκλήματι χρώμενος τὸ ἐκκομίζουσα προσέθηκε περισσῶς:— VR.

V. 176. τί σ' ἐγὼ δράσω: τὸ ἦθος ἀπειρηκυίας τοῖς κακοῖς τῆς θεραπαίνης[1] κοινῇ τὸν βίον

V. 30. [1] Cod. ἐκ$^{α'}$.

V. 67. [1] Cod. τῇ ἀλ^{ε}. [2] Cod. $\overline{β}$ $^{ο}\chi$ ἐπεισάγει. [Cf. Cic. de Divin. II. 64. ubi Orelli recte „tum *astici* respondent" conjecisse videtur.] [3] Cod. $^{ο}\chi$ ^{δδ}νεανι τῶν κυνηγῶν ^{τ}ἱππολυ. [4] Cod. ἔπεσθαι.

V. 170. [1] Ven. ἐγκυκλήματι. Vat. ἐγκλήματι.

V. 176. [1] Cod. τῆς θερα^{π}.

βλασφημεῖν προάγεσθαι. διὸ καὶ τὸ γνωμικὸν ἐπάγεται, ὅπερ σύνηθες τοῖς δυστυχοῦσιν:— V.

V. 263. *οὕτω τὸ λίαν ἧσσον: οὕτω τὸ λίαν ἔλαττον ἐπαινῶ τοῦ μηδὲν ἄγαν καὶ μεμετρημένου, καὶ μάρτυρες ἔσονται οἱ σοφοὶ, εἴπερ ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὅπερ Χίλωνι ἀνατιθέασιν, ὡς Κριτίας. καὶ Πίνδαρος·*

σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος ἤνησαν περισσῶς[1]*. τὸ δὲ μηδὲν ἄγαν οἱ μὲν Χίλωνι τῷ Λακεδαιμονίῳ ἀνατιθέασιν, ὡς Κριτίας, οἱ δὲ Σωδάμῳ, ὡς τὸ ἐν Τεγέᾳ ἐπίγραμμα δηλοῖ·*

Ταῦτ' ἔλεγεν Σώδαμος Ἐπηράτου, ὅς μ' ἀνέθηκεν·
μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά.

ὁ δὲ Θεόφραστος· ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως οἷον Μηδὲν ἄγαν, Μηδὲ δίκην δικάσῃς:— VR.

V. 302. *λόγοις ἐτέγγεθ' ἥδε: — γράφεται δὲ διὰ τριῶν· λόγοις ἐπείθετο, λόγοις ἐθέγγετο, λόγοις ἐτέγγετο:—* R.

V. 306. *μὰ τὴν ἄνασσαν*) — *εἰώθασιν οἱ εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύναι ὡς καὶ Σοφοκλῆς ἐν Μυκηναίαις*[1]·

μὰ τὴν ἐκείνου δειλίαν, ἣ βόσκεται,
θῆλυς μὲν αὐτὸς, ἄρρενας δ' ἐχθροὺς ἔχων:— VR.

V. 331. *τιμιωτέρα φανῇ: — κατὰ γὰρ Μένανδρον τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα σοφῶν ἀνδρῶν ἐστιν, ἐν οἷς φησι·*

λανθάνει τὰ πράγματα
τοὺς λέγειν ἡμῶν ὀκνοῦντας τὰς ἀληθείας ἀεὶ
τοῖς ἀναγκαίοις

καὶ τὰ ἑξῆς:— R.

V. 342. *οὐ νεωστὶ: γράφεται· καὶ νεωστὶ ἦν' ἢ καὶ ἐκεῖθεν καὶ νεωστὶ δυστυχοῦμεν:—* R.

V. 263. [1] Fragm. 235. ap. Boeckh. 196. ap. Bergk.

V. 306. [1] Vat. μυκήναις.

ΕΙΣ ΤΗΝ ΑΛΚΗΣΤΙΝ.

(E Codice R.)

Ὑποθεσις Ἀλκήστιδος.

Ἀπόλλων ἠτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτὴν, οὐδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ᾽ οὐ πολὺ δὲ τῆς συμφορᾶς ταύτης γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν ἐπορεύθη ἐπὶ τὸν τάφον καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα τηρεῖν. εἰληφέναι δὲ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἀποκαλύψας[1] ἔδειξεν ἣν ἐπένθει.—

Ἄλκηστις[2] ἡ Πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώζεται βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα. τὸ δρᾶμα ἐποιήθη Γ ξ[3]. ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος τὸ λ. πρῶτος[4] ἦν Σοφοκλῆς, δεύτερος[5] Εὐριπίδης Κρήσσαις, Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος[6], Τηλέφῳ, Ἀλκήστιδι. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν[7]. Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς μιᾷ πόλει τῆς Θετταλίας. συνέστηκε δὲ ὁ χορὸς ἔκ τινων πρεσβυτῶν ἐντοπίων, οἳ καὶ παραγίνονται συμπαθήσοντες ταῖς Ἀλκήστιδος συμφοραῖς[8]. προλογίζει ὁ

ΤΠΟΘ. [1] ἀποκαλύψας om. Cod. [2] Edidit haec ex eodem Codice G. Dindorfius in Praefatione ad Alcestidem, p. 6, 7. [3] male apud Dind. ξ̄. [4] Cod. πρῶτον. τ

„Error natus e scriptura ά vel πρω.“ *Cob.* [5] Cod. δεύτερον. [6] Cod. ἀλκμαίωνι (male ap. Dind. ἀλκμαίονι) τῷ καταστροφήν. διαψωφίλω. [7] Cod. κατασκινήν. [8] Cod. τῆς — συμφορᾶς.

Ἀπόλλων[9]. εἰσιδ' ἐχορηγοί[10]. τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει. παρὰ τῶν τραγικῶν[11] ἐκβάλλεται ὡς ἀνοίκειο[12] τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καί ἡ Ἄλκηστις ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν λήξαντα ἔστι μᾶλλον κωμῳδίας ἐχόμενα:— τχ

V. 1. ὦ δώματ' Ἀδμήτει': ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστὶν, ἣ κέχρηται νῦν Εὐριπίδης. οὕτω δέ φησι καὶ Ἡσίοδος καὶ Ἀσκληπιάδης ἐν τραγῳδουμένοις. Φερεκύδης δὲ οὔ[1] φησι τοὺς Κύκλωπας ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι, ἀλλὰ τοὺς υἱοὺς αὐτῶν γράφων οὕτω· παρ' αὐτὸν τὸν Ἄδμητον ἔρχεται Ἀπόλλων[2] θητεύσων εἰς ἐνιαυτὸν, Διὸς κελεύσαντος ὅτι κτείνει τοὺς Βρόντεω καὶ Ἀστεροπέω καὶ Ἄργεω[3] παῖδας. κτείνει δὲ αὐτοὺς Ἀπόλλων Διὶ μεμφθεὶς, ὅτι κτείνει Ζεὺς Ἀσκληπιὸν τὸν παῖδα αὐτοῦ κεραυνῷ ἐν Πυθῶνι. ἀνίστη γὰρ ἰώμενος τοὺς τεθνεῶτας. Ἀλεξανδρίδης δὲ ὁ Δελφός[4] φησι θητεῦσαι αὐτὸν διότι τὸν Πυθοῖ δράκοντα ἀνεῖλεν. Ῥιανὸς δέ φησιν ὅτι ἑκὼν ἐδούλευσεν αὐτῷ δι' ἔρωτα τοῦ Ἀδμήτου. καὶ περὶ μὲν τῆς Ἀπόλλωνος θητείας ταῦτα. Ἀπολλόδωρος δέ φησι κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῷ τὸν Ἱππόλυτον ἀναστῆσαι, Ἀμελησαγόρας δὲ ὅτι Γλαῦκον, Πανύα-

---

[9] Cod. ὁ ἥλιος. „Scilicet ἥλιος, Ἀπόλλων et χρυσός eadem sigla in Codicibus antiquioribus scribuntur. Vide GAISFORD. ad Hesiodum in Poetis Gr. Min. T. I. p. 113. et BAST. in Commentat. Palaeogr. p. 834.“ *Cob.* [10] Dindorfius l. l. p. 9: „fortasse scribendum, Εἰσίδοτος (h. e. Ἰσίδοτος) ἐχορήγει.“ [11] Cod. *π* (cum compendio quod *αρα* significat et accentu gravi) τ (cum compendio syllabae *ων*) *τραγικῶν*. male Dind. *παρὰ τοῖς τραγικοῖς*. [12] Cod. *ἀνοικείας* (*ἀνοικεί* cum compendio syllabae *ας*). Dind. *ἀνοίκεια*.

V. 1. [1] Cod. οὕτως φησὶ. [2] Cod. ἔρχεται ἥλιος. [3] Cod. *ἀστεροπαίω καὶ ἀργείω*. [4] Cod. ἀναξανδρίδης δὲ ὁ ἀδελφὸς. „Emendavit Hemsterhusius ad Polluc. IX. §. 59.

σις ὅτι Τυνδάρεων, οἱ δὲ Ὀρφικοὶ ὅτι Ὑμέναιον, Στησίχορος δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ. Φερεκύδης ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν[5] τοὺς ἐν Δελφοῖς φησι θνήσκοντας αὐτὸν ἀναβιώσκειν. Φύλαρχος δὲ διὰ τοὺς Φινείδας, Τελέσαρχος δὲ δι' Ὠρίωνα, Πολύαρχος δὲ ὁ Κυρηναῖος διὰ τὸ τὰς Προίτου θυγατέρας αὐτὸν ἰάσασθαι, κεραυνωθῆναί φησιν:—

V. 8. ἐβουφόρβουν ξένῳ: ἔνεμον[1], ἀπὸ τοῦ διαφέροντος ζῴου τοῦ βοός. Ὅμηρος·

πρῶθ' ἑκατὸν βοῦς δῶκε[2]

παρὸ καὶ ἀλφεσιβοίας τὰς γυναῖκας ἔλεγον ἐκ τοῦ καλλιστεύοντος ζῴου καὶ βουκολικὰ ἐπιγέγραπται τὰ Θεοκρίτου καὶ τὴν Ἀρκαδίαν βούνομον προσαγορεύουσι, καίτοι οὐ μόνον αὐτὴν βόες κατενέμοντο. οὕτω δὲ διέφερε τὸ ζῷον[3] ὥστε καὶ τὸ ἱπποφορβεῖν βουκολεῖν ἔλεγον·

τοῦ[4] τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο:—

V. 12. Μοίρας δολώσας) Αἰσχύλος Εὐμενίσι[1]·

τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας[2] ἔπεισας ἀφθίτους θεῖναι[3] βροτούς.
σύ τοι[4] παλαιὰς διανομὰς[5] καταφθίσας[6]
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς:—

V. 59. ὅ νοιντ' ἂν: μέμφοιντο[1] ἂν τὴν ἐμὴν δύναμιν οἱ ἐν γήρᾳ τελευτῶντες. Ἄλλως. παρὰ[2] τῶν πολυχρονίων ἀγοράσειαν ἂν οἱ πλούσιοι τὸν ἐκείνων χρόνον.

---

et diu ante Vossius de Hist. Gr. p. 405." Matthiae. [5] Cod. τῇ η τῶν.

V. 8. [1] Cod. δὲ. „Saepe compendium voculae *δέ* et (,) confunduntur." *Cob.* [2] Cod. ἔδωκε. Iliad. *A.* 244. [3] Cod. οὐ δὲ διείχετο ζώων. [4] Iliad. *T.* 221.

V. 12. [1] Vs. 723—724. 727—728. [2] *Μοίρας* in Codice mador delevit. [3] Cod. εἶναι. [4] Cod. οὕτω. [5] „En veram lectionem! Apud Aeschylum nunc legitur: *δαίμονας*." *Cob.* [6] Cod. καταφθίνας.

V. 59. [1] Cod. *μέμψοιντο.* [2] Cod. ὑπὸ.

V. 98. πυλῶν πάροιθε: ὁπότε τις ἀποθάνοι πρὸ τῶν πυλῶν ὄστρακα [1] πληροῦντες ὕδατος ἐτίθεσαν καὶ κλάδους δάφνης, ἵνα οἱ ἐξιόντες περιρραίνοιντο [2]. ἐκάλουν δὲ τὰ τοιαῦτα ὄστρακα Λωριεῖς [3] μὲν κύμβαλα, Ἀθηναῖοι δὲ ἀρδάνια. ἐνὶ σημείῳ δὲ χρῶνται τοῦ συμβεβηκότος καὶ τοῖς εἰσιοῦσιν ἀφαγνισμὸν [4] εὔλογον ποριζουσιν, ἵνα οἱ παραγενόμενοι τῶν ἐπιτηδείων ἢ διακονήσεως ἢ παραμυθήσεως ἕνεκα περιρραινόμενοι καθαροὶ ὦσι [5] καὶ πρὸς τοὺς ἑαυτῶν ἐπανίωσι μηδενὸς ἐμποδίζοντος:—

V. 726. σοῦ δ' ἂν προθνήσκων: σοῦ δὴ ἄν. ἐν συναλοιφῇ τοῦ δ' ἄν. ἑκατέον οὖν τὸν ἄν. ὁ δὲ νοῦς· οὐ νῦν ἁμαρτάνω, ἀλλ' εἰ ὑπέρ σου ἀπέθνησκον:—

V. 750. ἔρροις νυν αὐτὸς: φθείρου. εἶτα ἐξ ἑτέρας ἀρχῆς· καὶ αὐτὸς καὶ ἡ ξυνοικοῦσά σοι γηράσκετε ἄπαιδες ὡς ἐστὲ ἄξιοι καὶ ταῦτα ἐμοῦ ζῶντος. τινὲς δὲ ἔρρων γράφουσι σὺν τῷ ν, ἵνα ᾖ μετοχὴ ἀντὶ ῥήματος τοῦ ἔρρε:—

V. 764. πολλοὺς μέν: θεράπων ὁ πρὸς ὑπηρεσίαν τοῦ Ἡρακλέους ἔξεισι δυσφορῶν ἐφ' οἷς ὁ Ἡρακλῆς πένθους προκειμένου οὐ κατῃσχύνετο οὕτως ἀναιδῶς καὶ στεφανῶν καὶ ἐσθίων:—

V. 773. ποτῆρα: ὅτι ἀρσενικῶς εἴρηται. ἄλλως. διὸ τὸ χ. λέγεται δὲ καὶ ποτήριον ἀρσενικὸν οὐδαμῶς ὑποκοριστικὸν δέ. ἐξηγήσατο δὲ τί ἐστι κισσύβιον εἰπὼν ποτῆρα κίσσινον:—

V. 785. οὐδ' ἐξέτεινα χεῖρ': σεσημείωται ὅτι καὶ Αἰσχύλος ὡς γινόμενον τοῦτο συνίστησιν ἐν ταῖς Χοηφόροις [1] τὸ ἐκτείνειν τὰς χεῖρας. λέγει δὲ Ὀρέστης·

οὐ γὰρ παρὼν ᾤμωξα σὸν, πάτερ, μόρον,

V. 98. [1] Cod. τὰς στράτας. [2] Cod. περιραίνοιντο. [3] „Conf. Hesychius v. Ἀρδανίαι." *Cob.* [4] Cod. ἀφασισμὸν. [5] Cod. καθαίρουσι.

V. 785. [1] „In deperdito Prologi initio. vid. G. Dia-

οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾷ[2] νεκροῦ:—

V. 790. περφροντικὸς: στυγνὸν, σκυθρωπόν. οἱ γὰρ φροντίζοντες σκυθρωπάζουσιν:— περφροντικός: φροντίδων μεστὸν, πολυμέριμνον τὸ βλέμμα καὶ τὸ πρόσωπον ἔχεις:—

V. 797. τὰ θνητὰ: οὐκ εὐλόγως τὸν Ἡρακλέα εἰσήγαγε φιλοσοφοῦντα ἐν μέθῃ, ὃν ἔδει καὶ ἄλλου φιλοσοφοῦντος διαπαίζειν:—

V. 815. μεθορμιεῖ σε: μεταστήσει σε εἰς ἕτερα ἡ συνεχὴς περιφορὰ καὶ ὁρμὴ τοῦ ποτηρίου. οὐκέτι γὰρ δακρύσεις ἐὰν πίῃς:— πίτυλος: ὁ κτύπος.

V. 818. ὡς τοῖς γε σεμνοῖς: τοῖς καταστύγνοις οὐκ ἔστι βίος ὁ βίος ἀλλὰ λύπη, ὡς ἐμοὶ καταφαίνεται κρίνοντι:—

V. 824. κατοῖσθα: οὐ προπαροξύνεται τὸ κατοῖσθα:—

V. 837. μῶν ἢ τέκνων τι φροῦδον: ἆρα, φησὶν, ἀφανὴς ἐγένετό τις τῶν παίδων ἢ ὁ γέρων πατὴρ ἀπέθανεν· ταῦτα δὲ τὰ τρία ἔν τισιν οὐκ ἔγκειται:—

V. 849. ἀλλὰ σοῦ τὸ μὴ φράσαι: συντέτμηκε τὴν ἑρμηνείαν. βούλεται γὰρ εἰπεῖν· ἀλλὰ σοῦ τὸ ἁμάρτημα τὸ μὴ εἰπεῖν τὸ ἀληθές:—

V. 863. κἄνπερ λοχήσας: γράφεται λοχείας[1]. λοχᾶν γὰρ αὐτὸν θέλει ὁ Ἡρακλῆς κρυφθείς:—

V. 918. τί μ' ἐκώλυσας: διὰ τί με ἐκώλυσας ῥῖψαι ἐμαυτὸν τῷ τάφῳ τῆς γυναικός. πρὸς τὸν χορόν φησιν. ἦν γὰρ ὁ χορὸς μετ' αὐτοῦ. δύναται γὰρ ὁ χορὸς ἐξίστασθαι τῆς σκηνῆς ὡς καὶ ἐν Αἴαντι μαστιγοφόρῳ.

V. 929. πολιὰς ἐπὶ χαίτας) τινὲς εἰς τὸ χαίτας στίζουσι. τὸ δὲ προπετὴς πρεσβύτερος:—

---

dorf. in Zimmermanni Z. f. d. Alt. 1839. p. 1124." *Cob.*

[2] Cod. ἐκφορὰν.

V. 863. [1] Cod. λοχίας.

V. 936. *φιλίας ἀλόχου: γράφεται πιστῆς:—*

V. 983. *Ὀρφεία κατέγραψε: πρῶτος Ὀρφεὺς μυστήρια θεῶν παραδέδωκεν, ὅθεν καὶ θρησκεία τὸ μυστήριον καλεῖται ἀπὸ τοῦ Θρᾳκὸς Ὀρφέως. καὶ ἄλλως. καὶ ποιητὴς καὶ μάντις ἦν ὁ Ὀρφεύς. Φιλόχορος ἐν πρώτῳ περὶ μαντικῆς ἐκτίθησιν αὐτοῦ ποιήματα ἔχοντα οὕτως·*

Οὗτοι ἀριστερός εἰμι θεοπροπίας ἀποειπεῖν
ἀλλά μοι ἐν στήθεσσιν ἀληθεύουσι μέλαινα[1].

ὁ δὲ φυσικὸς Ἡράκλειτος[2] *εἶναι ὄντως φησὶ σανίδας τινὰς Ὀρφέως γράφων οὕτως· τὸ δὲ τοῦ Διονύσου κατεσκεύασται ἐπὶ τῆς Θρᾴκης, ἐπὶ τοῦ καλουμένου Αἵμου, ὅπου δή τινας ἐν σανίσιν ἀναγραφὰς εἶναί φασιν*[3]*:—*

V. 1001. *καὶ θεῶν σκότιοι: οἱ λαθραῖοι παῖδες ἐξ ἀδαδουχήτων γάμων γενόμενοι. Ὅμηρος·*

σκότιον δέ ἑ γείνατο μήτηρ[1].

τούτους δὲ Ῥόδιοι ματροξένους[2] *καλοῦσιν. Κρῆτες δὲ τοὺς ἀνήβους σκοτίους λέγουσιν:—*

V. 1128. *Γοργόν' ὡς καρατόμῳ: τὸ ἐντελὲς Γοργόνι*[1]*. καὶ δὴ προτείνω τὴν χεῖρα ὡς Γοργόνι*[2] *ἧς ἡ κεφαλὴ ἀπετμήθη. λέγει δὲ ἀπεστραμμένος*[3]*:—*

V. 1164. *τεταρχίᾳ: εἰς τέσσαρας διῄρητο τότε ἡ Θεσσαλία*[1] *πόλεις, αἵτινες ἦσαν ὑποτεταγμέναι Ἀδμήτῳ, ὡς καὶ Ἀρίσταρχός φησιν, ὅθεν ἐκαλεῖτο τεταρχία. εἰσὶ δὲ αὗται Φεραὶ, Βοίβη*[2]*, Γλαφύραι καὶ Ἰωλκός. καὶ Ὅμηρος* [Iliad. *B.* 711]·

οἱ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβῆίδα λίμνην

V. 983. [1] „Fort. *μέριμναι.*" *Cob.* [2] Cod. *ἡρακλείδης.* [3] „Apparet excidisse: *ὡς κατέγραψεν Ὀρφεύς*, aut simile quid." *Cob.*

V. 1001. [1] Iliad. *Z.* 24. [2] Cod. *μητροξένους.*

V. 1128. [1] Cod. *γοργόνη.* [2] Cod. *γοργόνη.* [3] Cod. *ἀνεστραμμένως.*

V. 1164. [1] Cod. *τέσσαρα διηρῆτατιθεσσαλία.* [2] Cod. *φέραι βοίβαι.*

Βοίβην καὶ Γλαφύρας καὶ ἐϋκτιμένην Ἰαωλκόν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος πάϊς.
ὁμωνύμως δὲ λέγει καὶ Ὅμηρος καὶ τὴν λίμνην καὶ τὴν πόλιν:—

ΕΙΣ ΤΗΝ ΑΝΔΡΟΜΑΧΗΝ.
(E Codicibus VR.)

V. 1. *Θηβαία πόλις*) τὴν ἐν Ἀσίᾳ λέγει τὴν Ὑποπλάκιον Θήβην, ἧς Ἠετίων ἐβασίλευσεν. Δικαίαρχός φησιν ἐνθάδε ἀπόσπασμά τι μετὰ τοῦ Κάδμου οἰκῆσαι. ἔνιοι δὲ[1] καὶ τὴν[2] Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος[3] αὐτὴν λέγων·

Ἀνδραίμονος[4] γένεθλον* Λυρνησσίου,
ὅθενπερ Ἕκτωρ ἄλοχον ἤγαγεν[5] φίλην.

Φιλέας[6] δὲ καὶ ἐν Θεσσαλίᾳ[7] φησὶν ἐν τῷ Φθιωτικῷ τέλει Θήβας εἶναι. Θεόπομπος δὲ ἐν τοῖς Ἑλληνικοῖς καὶ περὶ τὴν Μυκάλην*[8] ἄλας εἶναί φησι, ταύτας δὲ Μιλησίους ἀλλάξασθαι πρὸς αὐτούς. Πέντε εἰσὶ Θῆβαι, Ὑποπλάκιοι, Βοιώτιαι, Αἰγύπτιαι, καὶ ἐν τῷ Φθιωτικῷ μέρει καὶ περὶ Μυκάλην:— V.

V. 4. *παιδοποιὸς*) adscriptum est in Marciano:

γνησίων ἐπὶ σπορᾷ
παίδων.

quae videtur esse lacinia Euripidea. Cob.

V. 6. *ἐμοῦ πέφυκεν ἡ γενήσεταί ποτε:* οἱ ὑποκριταὶ τὸν ἴαμβον προσέθηκαν ὑπονοήσαντες εἶναι τὴν γραφήν· νῦν δή τίς ἄλλη[1] καὶ ἀντὶ τοῦ συγκριτικοῦ τὸ δυστυχεστάτη φησίν: VR.

V. 1. [1] Cod. *ἐν ᾗ δὲ.* [2] Cod. *τὸν χρύσην.* [3] Cod. *ξένων ἱστοριανδρεμονος.* [4] Cod. *ἀνδρέμονος.* [5] Cod. *ἤγαγε.* [6] Cod. *φιλίας.* [7] Cod. *θαλασσίᾳ.* [8] „Locus mutilus.“ *Cob.*

V. 6. [1] Ven. *γραφὴν ἵν' ἡ οὕτως νῦν δ' ἥτις ἄλλη.* Vat. *γραφὴν ἥτις ἵν' ἡ ὁ νῦν δή τις ἄλλη.*

V. 10. ῥιφέντα πύργων: Λυσανίας κατηγορεῖ Εὐριπίδου κακῶς λέγων αὐτὸν ἐξειληφέναι τὸ παρ' Ὁμήρῳ[1] λεχθέν·

ἤ τις Ἀχαιῶν
ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου[2].

οὐχ ὡς πάντως γενησόμενον[3] ἀλλ' εἰκαζόμενόν ἐστιν ὑπ' αὐτῆς, ὡς εἰ[4] ἔλεγε καταναυθήσεσθαι τὸν παῖδα ἤ τι ἄλλο. (Ξάν)θον[5] δὲ τὸν τὰ Λυδιακὰ (συντάξαν)τα φασὶν ὅτι Εὐριπίδῃ σύνηθες προσέχειν περὶ τοῖς[6] Τρωικοῖς ..... τοῖς δὲ χρησιμωτέροις ..... φοις. Στησίχορον[7] μέντοι ἱστορεῖν ὅτι τεθνήκοι καὶ τὸν τὴν πέρσιδα συντεταχότα .. ποιητὴν ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφείη:— VR.

V. 14. δορὸς γέρας: Σιμίας ἐν Γοργόνι Ἀνδρομάχην[1] φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμῳ λέγων οὕτως·

V. 10. [1] Iliad. Ω. 734. [2] Ven. πύργον. Vat. πύργων ἑνός. [3] Ven. γενόμενον. Vat. γιγνόμενον. [4] Ven. εἰκαζόμενον ἐστὶν ὡς εἰ. Vat. εἰκαζόμενον ἐστὶν ἀπ' αὐτῆς ὡσεὶ. [5] (Ξάν)θον — φοις. om. Vaticanus. in Veneto vix apparent. [6] Ven. π τοῖς. [7] Codd. στησίχορος — ἱστορεῖ.

V. 14. [1] Cod. σιμμίας ἐν γοργόνι ἀνδρομάχη. „Tzetzes ad Lycophronem vs. 1263. Λέσχης ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ καὶ ἀπαχθῆναι σὺν αὐτῷ εἰς Φαρσαλίαν, τὴν Ἀχιλλέως πατρίδα. Φησὶ γὰρ οὕτως·

Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἕκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας.
παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐϋπλοκάμοιο τιθήνης
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ πύργου. τὸν δὲ πεσόντα
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἠϋζωνον παράκοιτιν
Ἕκτορος, ἥντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρὶ,
αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.

Adscripsi totum locum, ut quisque monitus videat duo fragmenta, incertum Codicum an Tzetzae vitio, coalescere in

ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἠϋζωνον[2] *παράκοιτιν*[3]
Ἕκτορος, ἦντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρὶ,
αὐτόν τ' Ἀγχίσαο[4] *κλυτὸν γόνον ἱπποδάμοιο*[5]
Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων:— V.

V. 17. *σύγχορτα ναίω πεδία*: πλησιόχωρα, γείτονα. *σύγχορτα*[1] τὰ ὅμορα ὅτι χορτῷ διέγραφον τὰς πόλεις οἱ ἄρχοντες, Ἀλέξανδρος δὲ ἢ ὁσπρίοις ἢ ἀλεύροις. μεταξὺ δὲ τούτων τῶν πόλεων ἐστὶ[2] τὸ Θετίδειον:— V.

V. 18. *Πηλεῖ συνῴκει*) τοῦτο ἀπὸ ἱστορίας εἴληφεν. αὖθις γὰρ αὐτῇ συνῴκησε Πηλεύς. καὶ ἡ Ἀχιλλέα[1] τὸ Θετίδειον διόπερ ἐστὶ πόλις Θεσσαλίας ὥς φησι Φερεκύδης καὶ Σονίδας[2]. Ὁμηρικὴ δὲ ἡ σύνταξις[3]·

τὰ δὲ δώματα κάλ' Ὀδυσῆος[4]
οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο[5].

καὶ ὁ μὲν ποιητὴς πρὸς τὸ σημαινόμενον ἀπέδωκεν ἀντὶ τοῦ αὐτὸ τὸ οἴκημα. οἱ δὲ νεώτεροι οἰηθέντες τὸν Ὅμηρον κατὰ πληθυντικόν[6]· ἔστιν οὖν ἀπάτη νεωτέρων:— V.

V. 24. *κἀγὼ δόμοις*: ἰδίως ἕνα φησὶ παῖδα γενέσθαι τῷ Νεοπτολέμῳ ἄλλων τρεῖς[1] λεγόντων Πύρρον, Μολοσσὸν, Αἰακίδην καὶ Τρωάδα. Λυσίμαχος δὲ ἐν τῷ δευτέρῳ[2] τῶν Νόστων φησὶ Πρόξενον καὶ τὸν Ἀκάνθιον[3] Λυκομήδην ἐν τοῖς Λακεδαιμονικοῖς ἱστορεῖν ἐκ μὲν Ἀνδρομάχης γενέσθαι

---

unum. Versus quinque priores sunt Leschae, reliqui Simiae." *Cob.* [2] Cod. *υζων.* [3] Cod. *παρακοίτην.* [4] Cod. *τῆς ἀγχίσαο.* [5] Cod. *ὑποδάμοιο.*

V. 17. [1] Cod. *σύνορα.* [2] Cod. *ἐπὶ.*

V. 18. [1] „Corrupta et mutila. Quae sequuntur pertinent ad vs. 19. *Θεσσαλὸς δέ νιν λεώς*, ubi *νιν* pro plurali habebant." *Cob.* [2] Cod. *συίδας.* [3] Odyss. *T.* 264 et 268. [4] Cod. *τὸ δὲ δώματα κάκ' ὀδυσσῆος.* [5] Cod. *τις νῦν ἀνὴρ ὑπεροπλίσαιτο.* [6] „Mutila." *Cob.*

V. 24. [1] Cod. *τριῶν.* [2] Cod. *τῷ β.* [3] Cod. *ἀκάν-*

τοὺς προειρημένους, ἐκ δὲ Κλεονάσσης[4] τῆς Κλεοδαίου[5], Ἄργον, Πέργαμον, Πάνδαρον, Δωριέα, Ἔραον, Δανάην, Εὐρύμαχον. φασὶ δὲ Πύρρῳ μὲν ἐγχειρίσαι τὴν βασιλείαν τὸν πατέρα, Μολοσσῷ δὲ τὴν ἐκ τῆς προσηγορίας τιμὴν προστάξαντα τὴν χώραν Μολοσσίαν ὀνομάζειν. διὸ[6] τὸν Αἰαχίδην ὑπ' αὐτῆς ὑπεκτεθῆναι[7] Ἀνδρομάχης[8] πρὸς τὸ εἴτι διὰ τὴν ἀπαιδίαν[9] Ἑρμιόνης καὶ τὴν ἑαυτῆς[10] ἀσθένειαν γένοιτο[11] τοῖς τέκνοις δυσχερὲς μὴ ὑποχειρίους πάντας ληφθῆναι:— V.

V. 32. λέγει γὰρ ὥς νιν: ὁ μὲν Εὐριπίδης παρὰ Νεπτολέμῳ[1] φησὶν εἶναι τὴν Ἑρμιόνην, ὁ δὲ Λυσίμαχος ταύτην παρ' Αἰνείᾳ[2], ὃς γράφει· γήμας .. Ἑρμιόνην τὴν Μενέλεω καὶ Ἑλένης μετὰ ταῦτα Κλεόνασσαν[3] τὴν Κλεοδαίου[5] τοῦ ..... ἐξ ἐκείνης μὲν γενέσθαι Μολοσσὸν ὁμώνυμον τῇ χώρᾳ καὶ ... . κληθῆναι. ἐκ δὲ τῆς Κλεονάσσης ..... γενον, Δωριέα, Πέργαμον ..... χωρον. ταῦτα μὲν Λυσίμαχος. .. δὲ ὁ τραγῳδιοποιὸς[6] .... ὕστερον δὲ Διομήδει συνοικῆσαι ..... (Νεοπτο)λέμῳ Ἀγχίαλον γενέσθαι. ..... δὲ ἐν μὲν Ἀνδρομάχῃ .... δὲ καὶ Ἀπολλόδωρος .....:— V.

V. 32. λέγει γὰρ, ὥς νιν φαρμάκοις κεκρυμμένοις) οἱ φαύλως ὑπομνηματισάμενοι[1] ἐγκαλοῦσι τῷ Εὐριπίδῃ φάσκοντες ἐπὶ τραγικοῖς προσώποις κωμῳδίαν αὐτὸν διατεθεῖσθαι[2]. γυναικῶν τε γὰρ ὑπονοίας κατ' ἀλλήλων καὶ ζήλους καὶ

θινον. [4] Cod. λεωνάσσης. [5] Cod. κλαιοδάου. [6] Cod. δι' ὧν. [7] Cod. ἐκτεθῆναι. [8] Cod. ἀνδρομάχην. [9] Cod. διὰ τὴν ἀσπιδίαν. [10] Cod. καὶ τὸν δι' αὐτῆς. [11] Cod. γένοιτό τι.

V. 32. [1] Cod. ἀπονεοπτολέμῳ. [2] Cod. παρ' αἰνείου. [3] Cod. κλεώνασσαν. [4] Cod. κλεδαίου. [5] Cod. κλεωνάσσης. [6] Cod. τραγῳδοποιὸς. „Minutissima Codicis scriptura, quae etiam alibi intentissimam oculorum aciem fere fallit, hic passim situ et madore deleta est.“ *Cob.*

V. 32. [1] Vat. οἱ ὑπὸ μνήματι ὄντες διεγκαλοῦσι. [2] Vat.

λοιδορίας καὶ ἄλλα ὅσα εἰς κωμῳδίαν συντελεῖ ταῦτα[3] ἁπαξάπαντα τοῦτο τὸ ὁρᾶμα περιειληφέναι, ἀγνοοῦντες[4]. ὅσα γὰρ εἰς τραγῳδίαν συντελεῖ ταῦτα περιέχει, τὸν θάνατον τοῦ Νεοπτολέμου καὶ θρῆνον Πηλέως ἐν τέλει[5], ἅπερ ἐστὶ τραγῳδίας[6]:— VR.

V. 89. ἐπείτοι κοὐ περίβλεπτος βίος) κατ' ἐνίους γράφεται καὶ χωρὶς τοῦ οὐ· καὶ περίβλεπτος, ὥστε ἐν εἰρωνείᾳ τοὐναντίον λέγεσθαι:— VR.

V. 100. χρὴ δ' οὔποτ' εἰπεῖν: τούτῳ συνάδει τὸ·

τέλος ὅρα μακροῦ βίου.

Ἄλλως·

μήποτέ τις[1] ἄνδρα πανόλβιον αὐδήσειε
πρὶν ἴδῃ πῶς ἐκεῖνος[2] ἔχοι ποτὲ πότμον ἀπήμων:— VR.

V. 103. Ἰλίῳ αἰπεινῇ: μονῳδία ἐστὶ τὸ δι'[1] ἑνὸς προσώπου θρηνοῦντος ὥστε τὸ·

Ἀσιάτιδος γῆς σχῆμα[2]

μονῳδία ἐστί. τραγῳδία γὰρ καὶ οὐκ ἔδει[3] οὔτε ἐν[4] θεοφορουμένῃ ᾀδόμενα[5]. οὐ θρηνεῖ γάρ:— VR.

V. 106. χιλιόναυς: τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. εἰσὶ γὰρ αἱ νῆες ᾱροστ':— VR.

V. 107. Ἕκτορα) ἀπὸ κοινοῦ τὸ εἷλεν. καὶ ἔστι τὸ μὲν ἀντὶ τοῦ ἐπόρθησε, τὸ δὲ δεύτερον ἀντὶ τοῦ ἀνεῖλεν. εἴρηται δὲ Ὁμηρικῶ ζήλῳ, ὡς τὸ[1]·

ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμιον ἄριστω.

καὶ Πίνδαρος δὲ ἐχρήσατο ἐν τῷ·

Ἕλε δ' Οἰνομάου βίαν παρθένον[2] τε σύνευνον:— V.

διατελεῖσθαι. [3] Codd. ἐνταῦθα et mox ἀπειληφέναι. [4] Ven. ἀγνοοῦσιν. [5] Ven. ἐντέλειαν. [6] Codd. τραγῳδία.

V. 100. [1] „Fort. Μήποτέ τις βροτὸν ἄνδρα.“ *Cob.* [2] „Scrib. κεῖνος.“ *Cob.*

V. 103. [1] Cod. δὴ. [2] Andromach. vs. 1. [3] „Misere corrupta.“ *Cob.* [4] Vat. οὔτε τὰ. [5] Ven. θεοφορουμένῳ ᾗ ᾀδόμενα.

V. 107. [1] Iliad. *Λ*. 328. [2] Cod. παρθένου. Olymp. *I. 88.*

V. 108. *εἴλκυσε διφρεύων: παρὰ τὴν ἱστορίαν. τρὶς*[1] *γὰρ περὶ τὸ τεῖχος*[2] *ἐδιώχθη ὑπὸ Ἀχιλλέως ὁ* [3]*Ἕκτωρ, νεκρὸς δὲ περὶ τὸ Πατρόκλου σῶμα τρὶς ἐσύρη:—* VR.

V. 166. *σαίρειν: καταστέλλειν, παρὰ τὸ σαρὸν, ὡς παρὰ*[1] *Σώφρονι· τὸ σάρον*[2] *ἄνεμος:—* VR.

V. 167. *Ἀχελῴου) Ἀχελῶον πᾶν ποτάμιον ὕδωρ φασὶν, ὡς δρῦν πᾶν δένδρον καὶ ἀκρόδρυα πάντας τοὺς καρπούς:—* V.

V. 184. *κακόν γε θνητοῖς τὸ νέον) διὰ τὴν προπέτειαν κακὸν τὸ νέον.*

Ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται,
εἰ δὲ δίκην βλάπτοι, πουλὺ[1] *χερειοτέρη.* V.

V. 194. *ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις) ἐρωτηματικῶς μετὰ ὑποκρίσεως. τούτῳ δὲ ὑπακουστέον τὸ οὐ δήπου γε ἀντὶ τοῦ· οὐ δήπου γε ἡ Λάκαινα πόλις μείων ἐστὶ τῶν Φρυγῶν. ὁ δὲ νοῦς ἀντὶ τοῦ οὔτε κατὰ πόλεως δόξαν οὔτε κατὰ ἡλικίαν οὔτε κατὰ τύχην σοῦ βελτίων οὖσα πῶς σε ἀπιωθῆσαι δύναμαι:—* V.

V. 195. *τύχῃ θ' ὑπερθεῖ: τῇ εὐδαιμονίᾳ ὑπερβάλλει ἡ Φρυγῶν πόλις τῆς Λακαίνης. ᾧ πάλιν ὑπακουστέον τὸ· οὐ δήπου. ἀκολούθως δὲ ἐπάγει· κἄμ' ἐλευθέραν ὁρᾷς, οὐ δήπου αἰχμάλωτον:—* V.

V. 224. *καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς) τοῦτο παρ' ἱστορίαν φασὶν εἰρῆσθαι. μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορι ἐξ ἄλλης γυναικὸς γεγενῆσθαι υἱούς. ἀπερίσκεπτοι δέ εἰσιν οἱ ταῦτα λέγον-*

V. 108. [1] Codd. *τρίτον.* [2] Ven. *ἀπὸ τὸ τεῖχος.* [3] Ven. *καὶ.*

V. 166. [1] Ven. *ὥσπερ.* [2] Ven. *σώφρονι τὸ σαρὸν.* Vat. *σώφρονι σαρὸν.* „Cf. Hesych. v. Σάρον.“ Cob.

V. 184. [1] Cod. *πολύ.* [Versus poetae ignoti.]

τες. Ἀναξικράτης γὰρ ἐν τῇ δευτέρᾳ[1] τῶν Ἀργολικῶν οὕτως λέγει· οἱ δ' ἀμφ' ἐνέαο καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ πρεσβύτερον. ἦσαν δὲ αὐτῷ οὗτος μὲν νόθος ὃς ῑ[2] κατελήφθη καὶ ἀπόλλυται. οὗτοι δὲ διασώζονται. Σκαμάνδριος δὲ ἀφίκετο εἰς Ταναΐδα. Αἰνείου δὲ Ἀγχίσης ὁ πατὴρ ῑ καὶ ἄλλοι τινὲς παῖδες αὐτῶν καὶ Ἀγέστας οἰκεῖος ὢν τῷ Ἀγχίσῃ καὶ Αἰνείας εἰς Λάρδανον μεταπίπτονται. οὐκ ἀτόπως οὖν καὶ Εὐριπίδης νόθους φησὶν αὐτὸν ἐσχηκέναι παῖδας:— V.

V. 224. καὶ μαστὸν ἤδη πολλάκις: ὁποία ἦν ἡ Θεανώ, ἡ Ἀντήνορος γυνή. Ὅμηρος [Iliad. E. 69.]·

Πηδαῖον[1] δ' ἄρ ἔπεφνε Μέγης Ἀντήνορος υἱόν,
ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
ἶσα φίλοισι τέκεσσι χαριζομένη πόσεϊ ᾧ:— V.

V. 229. μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ γύναι) λέγει δ' ἂν Θησέα καὶ Μενέλαον καὶ Ἀλέξανδρον καὶ Δηΐφοβον. ἔσχε δὲ μετὰ θάνατον ἢ ἐν ὀνείρῳ Ἀχιλλέα, ὡς καὶ Λυκόφρων [V. 143.]·

τῆς πενταλέκτρου θυάδος Πλευρωνίας:— V.

V. 267. τηκτὸς μόλυβδος: τοῖς γὰρ ἀνδριᾶσι πρὸς ἀσφάλειαν μόλυβδος περιεχεῖτο[1]:— VR.

V. 276. ὁ Μαίας τε καὶ Διὸς τέκος: ὁ Ἑρμῆς· μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης, ἔνθα περὶ[1] τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῷ Πάριδι. τοιαῦτά ἐστι καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν· Ἴδης δή ποτε μηλοτρόφῳ ἀγενναι τὴ ειτὴν τῆς Ἴδης τριολύμπιον ἅρμα[2]. ἔνιοι δὲ διεψεῦσθαί φασι τὴν κρίσιν τῶν θεῶν, καθάπερ γράφει[3] Ἀν-

---

V. 224. [1] Cod. διὰ τῆς β. [2] „Nescio quid sibi velit. Plurima sunt in hoc scholio pessime corrupta.“ *Cob.*

V. 224. [1] Cod. Πήδασον.

V. 267. [1] Vat. ἐπιπεριχέεται.

V. 276. [1] περὶ om. Cod. [2] „Cf. Hesych. v. τριολύμπιον ἅρμα.“ *Cob.* [3] Cod. γὰρ.

τικλείδης. τρία γάρ ἐστι τῶν ἐπιχωρίων γύναια τὰ εἰς τὴν τῆς εὐμορφίας κρίσιν καταστάντα:— V.

V. 276. ὁ Μαίας τε καὶ Διὸς τέκος: ὁ Ἑρμῆς. μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης, ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη. Χρύσιππος δὲ ἐν Ἠθικῶν δεκάτῳ[1] λογισάμενον τὸν Πάριν τίνων δεῖ μᾶλλον ἀντέχεσθαι, πολεμικῆς ἀσκήσεως ἢ ἐρωτικῆς ἢ βασιλικῆς[2] νεῦσαι αὐτὸν μᾶλλον εἰς τὰ ἐρωτικὰ καὶ οὕτως τὸν περὶ κρίσεως μῦθον συντεθῆναι:— R.

V. 288. ὑπερβολαῖς λόγων δυσφρόνων παραβαλλόμεναι) τινὲς γράφουσι δυσφόρων, ἵν᾽ ᾖ ὑπερβολαῖς λόγων δυσφόρων ἑαυτὰς ὑβρίζουσαι, ὡς εἰ ἔλεγεν ἐριστικοῖς λόγοις διαμαχόμεναι πρὸς ἀλλήλας καὶ οἷον παραβάλλουσαι τὰ κάλλη ἀλλήλων καὶ συγκρίνουσαι σὺν φιλονεικίᾳ:— VR.

V. 329. οὐκ ἀξιῶ οὔτ᾽ οὖν σὲ Τροίας οὔτε σοῦ Τροίαν ἔτι) οὔτε σὲ τῆς Τροίας ἄξιον νομίζω, οὔτε σοῦ τὴν Τροίαν. Δίδυμος μέμφεται τούτοις ὡς παρὰ τὰ πρόσωπα[1]. σεμνότεροι γὰρ οἱ λόγοι ἢ κατὰ βάρβαρον γυναῖκα καὶ δυστυχοῦσαν. ὁ νοῦς· οὔτε ἡ Τροία ὑπὸ[2] σοῦ τοιούτου ὄντος ἀξίως ἑάλω, οὔτε σὺ αὐτὴν ἀξίως ἀνεῖλες. R.

V. 363. ἔν σου δέδοικα) μὴ διὰ τὴν Ἑρμιόνην με ἀπολέσῃς, ὥσπερ διὰ τὴν Ἑλένην τὴν Τροίαν. Δίδυμος μέμφεται πᾶσι τούτοις ὡς παρὰ καιρὸν καὶ τὰ πρόσωπα:— R.

V. 420. ὅστις δ᾽ αὖτ᾽ ἄπειρος ὢν ψέγει) ὅστις δὲ τὰ ὑπ᾽ ἐμοῦ ῥηθέντα ὑπὲρ τέκνων ψέγει ἄπειρος ὢν τέκνων καὶ μὴ εἰδὼς τὴν ἐπ᾽ αὐτοῖς ἀλγηδόνα. διὸ καὶ δυστυχεῖν νομίζων τὴν ἀπαιδίαν εὔχεται τέκνων τυγχεῖν, ἀγνοῶν ὅτι εὐδαίμων ἐστίν. ἐν ὅσῳ γὰρ ἄπαις τυγχάνει δυστυχεῖ, κατὰ δὲ τὸ ἀπολελύσθαι τῆς τῶν παίδων φροντίδος εὐδαιμο-

---

V. 276. [1] Cod. ἠθικῷ ῑ. [2] Cod. βασιλείας.

V. 329. [1] Cod. τούτους ὡς τὰ παρακαθεσιῶτα. „Confer scholion ad vs. 363.“ Cob. [2] Cod. ἀπὸ.

νεῖ. τινὲς δὲ οὕτως ὅτι τὸ ἧσσον ἀντὶ τοῦ οὐδ' ὅλως. ὁ ἄπαις φησὶν ἀπήλλακται τῆς περὶ τοὺς παῖδας ἀλγηδόνος δυστυχῶν διὰ ἀπαιδίαν. εἰ δὲ καὶ δυστυχήματα, ὡς τινες οἴονται, ἀλλά ἐστιν εὐδαίμων καὶ μακάριος ἄφροντις ὤν. δύναται δὲ καὶ τὸ δυστυχῶν ἀντὶ τοῦ ἀτυχῶν:— V.

V. 446. ᾧ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν) ταῦτα ἐπὶ τῷ [1] Ἀνδρομάχης προσχήματί φησιν Εὐριπίδης λοιδορούμενος τοῖς Σπαρτιάταις διὰ τὸν ἐνεστῶτα πόλεμον. καὶ γὰρ δὴ καὶ [2] παρεσπονδήκεσαν εἰς Ἀθηναίους, καθάπερ οἱ περὶ τὸν Φιλόχορον ἀναγράφουσιν [3]. εἰλικρινῶς [4] δὲ τοὺς τοῦ δράματος χρόνους οὐκ ἔστι λαβεῖν. οὐ δεδίδακται [5] γὰρ Ἀθήνησιν. ὁ δὲ Καλλίμαχος ἐπιγραφῆναί φησι τῇ τραγῳδίᾳ Δημοκράτην [6]. ἐξῆς δὲ αὐτοὺς εἰς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων πολιτείᾳ καὶ τὸ ὑπὸ θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος [7].

ἃ φιλοχρηματία Σπάρταν ὀλεῖ [8], ἄλλο γὰρ οὐδέν.

καὶ φαίνεται δὲ γεγραμμένον τὸ δρᾶμα ἐν ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου:— VR.

V. 449. ἑλικτὰ κοὐδὲν ὑγιές: περικυκλοῦντες ψεύδεσι λόγοις τὴν ἀλήθειαν καὶ μὴ κατ' εὐθεῖαν [1] ἃ φρονεῖτε:— V.

V. 594. τὸν σὸν λιποῦσα φίλιον) τὸ χ ὅτι φίλιον ἢ λείπει τὸ [1] Δία, ἵν' ᾖ φίλιον Δία:— V.

V. 607. τρωθεὶς) σημειωτέον ὅτι τρωθεὶς

V. 446. [1] Vat. ἐν τῷ τῆς. [2] Vat. πόλεμον. ἦν γε δὴ καὶ. [3] Ven. φιλόχωρον ἀναγράφοντες. Vat. τοῦ φιλοχόρου ἀναγράφουσιν. [4] εἰλικρινῶς — Δημοκράτην om. Vat. [5] Cod. δέδεικται. [6] Ven. ἔξω δὲ αὐτοὺς εἰς τε τὰ ἄλλα καὶ φιλοχρημάτους αὐτοὺς λέγει. Vat. ἐξῆς δὲ αὐτοῖς εἴς τε τὰ ἄλλα καὶ φιλοχρημάτους κακῶς λέγει. [7] Hucusque Ven. [8] Vat. ἀφιλοχρηματίας σπάρτιαν τις ἕλοι.

V. 449. [1] „Add. λέγοντες." *Cob.*

V. 594. [1] Cod. τὸν.

εἶπεν οὐ βληθείς. καὶ γὰρ ἐβλήθη ὑπὸ τοῦ Πανδάρου. διαφέρει δὲ τὸ βληθῆναι τοῦ τρωθῆναι. Ὅμηρος [1]·

βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεύς.

Ἄλλως. παρὰ τὴν ἱστορίαν. βέβληται γὰρ [2] ὑπὸ Πανδάρου, οὐ τέτρωται [3]. εἰ μὴ ἄρα ὅτι ηὐτέλιζον τὰ τοξεύματα οἱ παλαιοί. διὸ οὐ λαμπρά γε ταῦτα ἐχόντων οὐδὲ ἐμνήσθη: VR.

V. 613. τοῦτο καὶ σκοπεῖτέ μοι: ἀντὶ τοῦ· διὰ τοῦτο. διαλέγεται δὲ πρὸς τὸ θέατρον. ὅσοι δὲ μνηστεύεσθε λογίζεσθε καλῆς γυναικὸς παῖδα λαβεῖν:— V.

V. 659. εἰ σὺ παῖδα σὴν δούς τῳ πολιτῶν εἶτ' ἔπασχε τοιάδε) πάλιν τῷ συνήθει τῆς φράσεως χρῆται σχήματι. ἦν δ' οὕτως λεγόμενον ἁπλούστερον· εἰ δόντος σοῦ τινι τὴν παῖδα τὴν σὴν ὑπ' ἐκείνου τοιαῦτα ἔπασχεν ἠρέμεις ἄν; καὶ ἔστιν Ἀττικὴ ἡ σύνταξις, ᾗ λείπει τὸ ἐτύγχανες:— V.

V. 678. οὐδ' ἄν σε Φῶκον) ὥσπερ ἐγὼ οὐκ ἐφόνευσα τὴν Ἑλένην, οὕτως οὐδὲ σὺ ὤφελες [1] τὸν Φῶκον ἀνελεῖν. καὶ ὁ τὴν Ἀλκμαιωνίδα πεποιηκὼς φησι περὶ τοῦ Φώκου·

ἔνθα μὲν ἀντίθεος Τελαμὼν τροχοειδεῖ δίσκῳ [2]
πλῆξε κάρη, Πηλεὺς δὲ θοῶς ἀνὰ χεῖρα τανύσσας [3]
ἀξίνῃ εὐχάλκῳ [4] ἐπεπλήγει μέσα νώτων:— VR.

V. 724. ἔστι γάρ τις οὐ πρόσω: ἔνιοί φασι παρὰ τοὺς χρόνους αἰνίττεσθαι τὰ Πελοποννησιακά. οὐκ ἀναγκαῖον δὲ κατασυκοφαντεῖν τὸν Εὐριπίδην, ἀλλὰ φάσκειν πλάσματι κεχρῆσθαι:— VR.

V. 781. Ἰλιάδα τε πόλιν: οἱ μὲν πλείους

V. 607. [1] Iliad. Δ. 659. [2] Codd. πρῶτος γὰρ. [3] Codd. πανδάρου τέτρωται.

V. 678. [1] Codd. ὤφειλες. [2] Vat. κύκλῳ δίσκῳ. „Fortasse κύκλῳ verum est, δίσκῳ glossema.“ Cob. [3] Ven. τανύσας. Vat. πετάσας. [4] Ven. ἀξίνην εὔχαλκον. Vat. ἀξίνῃ ἐϊχάλκῳ.

Τελαμῶνά φασι συστρατεῦσαι τῷ Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον. ὁ δὲ Πίνδαρος καὶ Πηλέα[1]*, παρ' οὗ ἔοικε τὴν ἱστορίαν ὁ Εὐριπίδης λαβεῖν. λέγει δὲ ὁ Πίνδαρος οὕτως*[2]*· Πηλέως ἀντιθέου μόχθοι νεότατ'*[3] *ἐπέλαμψαν μυρίοις. πρῶτον μὲν Ἀλκμήνης σὺν υἱῷ Τρώων ἅμ πεδίον*[4] *καὶ μετὰ ζωστῆρας*[5] *Ἀμαζόνος ἦλθε καὶ τὸν Ἰάσονος εὔδοξον*[6] *πλόον ἐκτελέσας*[7] *εἶλε Μήδειαν ἐν Κόλχων δόμοις:—* VR.

V. 880. *ἦνπερ μόνην γε Τύνδαρις: Ἀνσίμαχος καὶ ἄλλοι τινὲς ἱστοροῦσι*[1] *γενέσθαι ἐξ Ἑλένης*[2] *καὶ Νικόστρατον. ὁ δὲ τὰς Κυπριακὰς ἱστορίας συντάξας*[3] *Πλεισθένην φησὶ, μεθ' οὗ εἰς Κύπρον ἀφῖχθαι τὸν ἐξ αὐτῆς τεχθέντα Ἀλεξάνδρῳ Ἀγαυόν*[4]*:—* VR.

V. 911. *πῶς οὖν τάδ': τὸ χ ὅτι εἰς παροιμίαν ὁ στίχος μετήχθη, εἴ τις ἀντιλέξειεν:—* R.

V. 957. *ἔκτοθεν δ' οὐ ῥᾴδιον: καὶ γὰρ ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν*[1] *φίλοι. τὸ δὲ συγγενὲς κατὰ φυσικὴν ἀνάγκην δοῦλον, ὡς καὶ ἐν Δυσκόλῳ φησὶ*[2] *Μένανδρος·*

οὐκ ἔνεστί σοι φυγεῖν[3]
οἰκειότητα, δᾶερ[4]*:—* VR.

V. 781. [1] Ven. *Πηλεύς.* [2] Codd. *οὗ.* „Solemni errore. Pindari fragmentum est 158 Boeckhii, apud Bergk. 137.“ *Cob.* [3] Ven. *μοχθοινεωτάτοις.* Vat. *μόχθοιν νεώτατ'.* Uterque *ἐπέλαμψε.* „Boeckhius legit: *Πηλέος ἀντιθέου μόχθοι νεότατ' ἐπέλαμψαν μυρίοις*, probante Bergkio.“ *Cob.* [4] Ven. *ἀμπεδίον.* Vat. *σὺν ὑμῖν Τρώων ὀμπεδίον.* [5] „Scrib. ζωστῆρ'.“ *Cob.* [6] om. Ven. [7] Ven. *ἐκτελευτήσας.*

V. 880. [1] Vat. *ἱστοροῦσι τινὲς.* [2] Vat. *ἐξ Ἑλένης γενέσθαι.* [3] Ven. *συν.* Vat. *συγγράψας.* [4] Ven *ἀλ ἄγανον.* Vat. *ἀλεξάνδρῳ ἀγανόν.*

V. 911. „Cobet. hoc scholion male a librario ad versum 911 relatum esse censet. Deletis verbis *εἴ τις ἀντιλέξειεν*, quae male huc adhaeserint, referri vult ad versum sequentem: *κακῶν γυναικῶν εὔσοδοί μ' ἀπώλεσαν*, quem in proverbium abiisse constet, et laudat Wyttenbach. ad Plutarchi Praec. Coniug. p. 143. E.

V. 957. [1] Vat. *ἐκποδῶν.* [2] Vat. *φησὶν ὁ.* [3] Vat. *οὐκ ἔνεστ' ἴσως οἰκεῖν.* [4] Ven. δαερ. Vat. δάερ.

V. 967. τὸ συγγενὲς γὰρ δεινὸν: τὸ δεινὸν καὶ ὁ ῥήτωρ ἀντὶ τοῦ ἱκανὸν τέταχεν· δεινὸς πράγμασι χρῆσθαι:— [Demosthen. Olynth. I. p. 10. R.] VR.

V. 968. οἰκείου φίλου: ἀντὶ τοῦ συγγενοῦς. καὶ ἐν Βάκχαις [V. 1202.]·

Βρόμιος ἄναξ ἀπώλεσ' οἰκεῖος γεγώς:— V.

V. 989. ἐχθρῶν γὰρ ἀνδρῶν: φιλεῖ πως ὁ δαίμων ἀναστρέφειν ἀεὶ τοῖς ἀνθρώποις τὰ πράγματα καὶ τοὺς ἐχθροὺς ποτε μέγα φρονοῦντας ὕστερον ταπεινοῦν', ὅπως μηδεὶς μηδενὸς ὑπερφρονοίη. τοῦτο δέ φησι κατὰ τοῦ Νεοπτολέμου, ὅτι τότε παρακαλούμενος παραχωρεῖν τὴν Ἑρμιόνην ὑπερεῖδε καὶ νῦν αὐτῆς ἀποστερεῖται:— V.

V. 994. ὀργάναν χέρα: τίνος οὕνεκα ἄτιμον ὀργάναν χέρα: τί οὖν ὀργάναν χέρα. ἀντὶ τοῦ ἐργατικὴν χεῖρα. ἄτιμον δὲ εἶπεν ὅτι μισθὸν οὐκ ἀπέδωκε Λαομέδων τῆς τειχοδομίας αὐτοῖς:—

V. 1015. δυστάνων τοκέων ἄλοχοι: τοκέων ἀνδρῶν νυμφίων τῶν ἤδη πατέρων γενομένων παρὰ ταῖς ἰδίοις γυναιξί. καὶ αὐτοὶ γοῦν ἀπολοφυρόμενοι τὰς οἰκείας οὐ μόνον γαμετὰς ἀλλὰ καὶ παῖδας ἐπόθουν, παρὰ τὸ Ὁμηρικὸν[1]·

αἱ δέ που ἠμέτεραι ἄλοχοι καὶ νήπια τέκνα.

ἐὰν δὲ ᾖ ἡ γραφὴ τεκέων λείπει τὸ[2] ἕνεκεν, ἄλοχοι δὲ ἀντὶ τοῦ γυναῖκες ἁπλῶς:— V.

V. 1020. νόσον Ἑλλὰς ἔτλα νόσον) τοῦτο καθ' ἑαυτὸ ἀπολύτως ἀναγνωστέον. VR.

V. 1054. οὐδέν εἰμ', ἀπωλόμην: ἐγκαλεῖ Δίδυμος καὶ εὐεπίληπτόν φησι τὸν αὐτὸν ἐν πάθει ὄντα λέγειν· οὐδέν εἰμι, φρούδη μὲν αὐδή. παρὰ τῷ Ὁμήρῳ[1]·

δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε.

V. 1015. [1] Iliad. B. 136. [2] Cod. ἐὰν δὲ ἡ γραφὴ τευχέων λύεται τὸ.

V. 1054. [1] Iliad. P. 695. Odyss. Δ. 704.

ἀλλ' ἐκεῖ οὐκ αὐτὸς ὁ πάσχων φησὶν ἀλλ' ἕτερος περὶ αὐτοῦ[2]:— R.

V. 1111. ἔκλυτοί τ' ἀμφώβολοι: εἶδος ἀκοντίων τριαινοειδῶν. οὕτω δὲ[1] λέγεται ὡς πρὸς τὰ μεσάγκυλα, ἃ δέδεται κατὰ τὸ μέσον σπάρτῳ. R.

V. 1130. τίς οὐ σίδηρον προσφέρει; τοῦτο Ὁμηρικόν [Iliad. X. 371.]·

οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη:— V.

V. 1141. ἐμνημόνευσε δ' ὥσπερ ἄνθρωπος κακὸς παλαιὰ νείκη: πρὸς αἰτιατικὴν τὸ ἐμνημόνευσεν ὡς

μέμνημαι τόδε ἔργον [Iliad. Ι 527.].

καὶ ὁ Ἡσίοδός φησι [Oper. et D. 420.]·

τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον.

καὶ πολλαχοῦ εὑρήσεις παρὰ ποιηταῖς συντασσόμενον αἰτιατικῇ τὸ μέμνημαι:— V.

V. 1161. οὗτός γ' ἂν: μεῖζον ἂν ἐδοξάσθη ἐν τῇ τῶν τοιούτων ἀνδρῶν ἀρρημένος παρατάξει, σύ τε εὐτυχέστερον ἀπήλλαξας κερδαίνων τὴν εὔκλειαν τοῦ ἐγγόνου:— R.

V. 1186. ἐπιθήσομαί ἐμῷ κάρᾳ: οὕτως ἡ γραφή. οὐ γὰρ προσγραπτέον τὸ ι. ἔστι γὰρ ἐξ ἀποκοπῆς τοῦ κάρηνον, ὅπερ κατὰ πᾶσαν πτῶσιν ἀποκόπτεται:— V·

V. 1204. λευκὴν αἰθέρα) γράφεται· λευκὸν αἰθέρα. Ὅμηρος [Iliad. Π. 365.]·

Αἰθέρος ἐκ δίης:— R.

V. 1217. Δελφοῖς ὄνειδος: ὅτι μὲν ἐν Δελφοῖς ὁ Νεοπτόλεμος τέθαπται καὶ Φερεκύδης ἱστορεῖ, ὅτι δὲ νεκρὸς ἐλθὼν εἰς Φθίαν πάλιν εἰς Δελφοὺς ἐπέμφθη διέψευσται:— VR.

V. 1228. καίπερ πεσούσης Παλλάδος προθυμίᾳ) ἐν τοῖς πολλοῖς τῶν ἀντιγράφων οὐ[1] φέρεται ὁ ἴαμβος:— R.

V. 1054. [2] Cod. παρ' αὐτοῦ.
V. 1111. [1] Cod. ὁ δὲ.
V. 1228. [1] Cod. οὕτω, perpetuo errore.

ΕΙΣ ΤΟΝ ῬΗΣΟΝ.

(E Codice R.)

V. 5. οἳ τετράμοιρον: ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα. Ὅμηρος·

ἀλλ' ὅτε[1] δὴ τρίχα νυκτὸς ἔην μετὰ δ' ἄστρα βεβήκει[2].

Στησίχορον δὲ καὶ Σιμωνίδην[3] πενταφύλακόν φησιν ὑποτίθεσθαι τὴν νύκτα. διαπορήσει δέ τις ὅπως* οἳ τετράμοιρον νυκτὸς φυλακὴν, πρὸς ὃ ῥητέον ὅτι οὐκ ἐν τῷ καθόλου φησὶ τετραφύλακον ἀλλὰ τὴν ἐν τῷ παρόντι φυλακὴν, ὡσανεὶ πρώτην ἢ δευτέραν. ὁ δὲ Κράτης δείκνυσιν ὅτι κατὰ τὸν Εὐριπίδην πενταφύλακον[4] ἐκτίθησι τὰ ὑπ' αὐτοῦ εἰρημένα·

τίς ἐκηρύχθη πρώτην φυλακὴν,

καὶ τὰ ἑξῆς. πρώτους γὰρ τοὺς περὶ Κύροιβον[5] φησὶ φυλάττειν, δευτέρους δὲ Παιόνας, τρίτους δὲ Κίλικας, οὓς καὶ Μυσούς φησιν[6] ὁμοεθνεῖς νομίζων. παραγειτνιᾷ γὰρ ὁ Ἀδραμυττηνὸς κόλπος τοῖς Μυσοῖς[7]. παρὰ δὲ Μυσῶν αὐτοὺς τοὺς Τρῶας παραλαβεῖν, πέμπτοις δὲ τοῖς Λυκίοις φησὶν ἐπιβάλλειν τὴν φυλακὴν, ὥστε οἱ τετάρτην μοῖραν φρουροῦντες ἐν ἀρχῇ φασιν·

οἳ τετράμοιρον νυκτὸς φυλακήν.

ὁ δὲ Κράτης εὐχερῶς δείκνυσι τοὺς Μυσοὺς τοὺς αὐτοὺς τοῖς Κίλιξι φάσκων εἶναι. κεχωρισμένοι γὰρ ἀλλήλων εἰσὶν ὡς καὶ Ὅμηρός φησι·

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν[8] Ἱππημολγῶν.

ἡ μὲν γὰρ Κιλικία ἐν τοῖς ἔμπροσθεν μέρεσι τῆς Τροίας κεῖται, ὁ δὲ Ζεὺς ἀπεστραμμένος ὁρᾷ Μυσοὺς[9].

V. 5. [1] Cod. δὲ ἄλλοτε. Odyss. Ξ. 483. [2] Cod. βέβηχε. [3] Cod. στησι δὲ ὁ σιμωνίδης. „Mox excidit aliquid post ὅπως." Cob. [4] Cod. πενταφυ. vs. 534. [5] Cod. κόρυβον. [6] Cod. φασὶν. [7] Cod. τους μυσούς et mox φησὶ παραβάλλειν. [8] Cod. ἀγαβῶν. Iliad. N. 5. [9] Conf. Iliad.

οἱ γὰρ Τραγικοὶ Κίλικας [10] οὐκ ἴσασι τούτους, ἀλλὰ τοὺς ἐν Ταύρῳ ᾠκηκότας. πῶς (οὖν) τῶν [11] δύο ἐθνῶν μία ἦν ἡ φυλακή; ἄμεινον οἶν νοεῖν ὅτι Παιόνων ὁ Κόροιβος ἦρχεν, οἵτινες τὴν πρώτην φυλακὴν ἔσχον καὶ παραδιδώκασι τὴν δευτέραν τοῖς Κίλιξιν, ἐξ ὧν ἐπιφέρουσιν οἱ Τρῶες· Μυσοὶ δ' ἡμᾶς [12], δῆλον ὅτι οἱ Μυσοὶ τὴν τρίτην φυλακὴν εἶχον, μεθ' οὓς οἱ Τρῶες τὴν τετάρτην. διό φασιν [13]·

οἳ τετράμοιρον νυκτὸς φυλακὴν,
οἵτινες τοὺς Λυκίους πέμπτους [14] ἐγείρουσιν:—

V. 41. χ πυραίθει στρατὸς Ἀργόλαος: τὸ χ ὅτι συνθέτως ἀναγινώσκεται καὶ ὅτι οὐκ ἔστιν Εὐριπίδου ὁ στίχος:—

V. 58. σύρδην: ὁμοῦ, ἅρδην.

V. 105. εἶθ' ἧσθ' ἀνὴρ εὔβουλος: ἔμπαλιν ὁ Σοφοκλῆς [1] φησιν·

εἶθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα:—

V. 109. ἐξήρθης: ἀνεπτερώθης, ἠγέρθης. τὸ ἐξῆς· ὅστις πυρὸς λαμπτῆρας κλύων ἐξήρθης Ἀχαιοὺς φεύγειν καὶ ἐξῆλθες ἐπιστρατεύειν:—

V. 158. ἐπώνυμος μὲν κάρτα: ἐτυμολογεῖ τὸ ὄνομα:—

V. 165. τάξαι δὲ μισθὸν: γελοῖον τὸ οἴεσθαι ὅτι βασιλείαν [1] αἰτήσει:—

V. 185. ἀφθίτων γὰρ: παρ' Ὁμήρου ἔλαβε τὴν ἱστορίαν. φησὶ γάρ·

ἀθάνατοί τε γάρ [1] εἰσιν:—

V. 207. σαγή: ἡ σαγὴ [1] ὀξυτόνως. Ἡρωδιανός [2].

N. 3. [10] Cod. κιλικίας. [11] Cod. πῶς ..τῶν. [12] Cod. δὲ ὑμᾶς. [13] Cod. διό φησιν. [14] Cod. τοῖς λυκίοις πέμπτην.

V. 105. [1] Cod. σοφός, solemni errore.

V. 165. [1] Cod. βασιλ. „Scholion pertinet ad verba: πλὴν ἐμῆς τυραννίδος.“ *Cob.*

V. 185. [1] Cod. om. τε. Iliad. Ψ. 277.

V. 207. [1] Cod. σφαγὴ. [2] Cod. ἡρώδης pervulgato errore: scilicet Ἡρωδιανός scribi solet Ἡρω. *Cob.*

V. 224. *Θυμβραῖε καὶ Δάλιε: ἀπὸ τῶν Τρωϊκῶν χωρῶν τὰ ὀνόματα:—*

V. 239. *Ἀχαιὸν Ἄρη: ὅτι θηλυκῶς*[1] *Ὅμηρος*[2] *Ξάνθον καὶ Βαλίον καὶ Ποσειδῶν ἔπορεν*[3] *αὐτούς. διὸ τὸ χ:—*

V. 248. *ἕνι δὲ θράσος ἐν αἰχμᾷ: τῆς ἔσχατος*[1] *Μυσῶν παροιμίας μέμνηται Φιλήμων ἐν Σικελικῷ*[2]*.*

τὸ δὴ λεγόμενον τοῦτο, Μυσῶν ἔσχατον
ἐνόμιζ' ὁρᾶν τὸν υἱὸν ἐκπλέονθ' ὁρῶν.

καὶ Μένανδρος·

εἰ μὴ γαμεῖς γὰρ ἔσχατον νόμιζέ με
Μυσῶν[3]*.*

κέχρηται δὲ καὶ νῦν Εὐριπίδης παρὰ τοὺς χρόνους:—

V. 256. *κακόγαμβρον: οὐκ ἀκριβῶς εἴρηκεν. οὐ γὰρ Ἀγαμέμνων τῇ Ἑλένῃ γαμβρός:—*

V. 270. *δόρη βαστάζομεν: ἀπὸ γενικῆς τῆς δόρεος καὶ δόρεα καὶ δόρη, ὡς βέλεα βέλη:—*

V. 307. *πολλὰ πελταστῶν τέλη: πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν πολιτείᾳ γράφων οὕτως· διελὼν δὲ τὴν πόλιν Ἀλεύας*[1] *ἔταξε καὶ τὸν κλῆρον παρέχειν ἑκάστους ἱππέας μὲν τεσσαράκοντα, πελταστὰς*[2] *δὲ ὀγδοήκοντα. ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα ἐπίχαλκος αἰγὸς δέρματι περιτεταμένη, καὶ τριάκοντα, οἱ*[3] *μακρὸν δόρυ πάντες ἐφόρουν, ὃ σχέδιον ἐκαλεῖτο:—*

V. 394. *τοὐπί σ': κατὰ τὸ σὸν μέρος.*

V. 416. *ἄμυστιν: οἱ μὲν ποτηρίου εἶδος*

V. 239. [1] „Scholion pessime habitum pertinet ad vs. 187, ubi Codex recte: *δίδωσι δ' αὐτὰς πωλοδαμνήσας ἄναξ Πηλεῖ Ποσειδῶν.* pro vulgato *αὐτούς.*" *Cob.* [2] Iliad. *Π.* 149. [3] Cod. ποσειδῶνα ἔπορσ.

V. 248. [1] Cod ἐσχάτης. [2] Cod. σκελετῷ. Emendavit Dindorfius. [3] Cod. φρυγῶν μυσῶν.

V. 307. [1] Cod. ἀλόας. [2] Cod. ὁπλίτας. [3] Cod. ἢ.

ἐπιτηδειότητα ἔχον πρὸς τὰς ὀμυστὶ πόσεις ὡς ἐν Ἄγγῃ[1]·

σὺν τῷ βαθείας καὶ πυκνὰς
ἕλκουσι τὰς ἀμύστιδας.

ἄλλοι δὲ ἐπὶ τῆς ἀπνευστὶ πόσεως[2] τάττουσι τὸ ὄνομα, ὡς Κρατῖνος·

ἀλλ' οὖν θεῷ σπείσαντ' ἄμυστιν[3] δεῖ πιεῖν·—

V. 424. μέλλοντι νόστον: ὅτι νόστον ἁπλῶς τὴν ὁδὸν καὶ τὸν πλοῦν ἔφη. καὶ γὰρ ἔπλευσε καὶ ἐπέζευσεν, ὡς ἑξῆς ἐρεῖ, οὐ μόνον τὴν εἰς τὴν πατρίδα ὑποστροφήν·

V. 462. ἀποινάσαιο: εἰσπράξαιο, τιμωρήσαιο.

V. 476. κοὐ μεμφόμεσθά γ': καὶ οὐκ ἐκφαυλίζομεν αὐτοὺς ἀλλὰ πάντα κινοῦμεν πρὸς τὸ ἀποστῆσαι αὐτούς, ὅμως ἐλαύνομεν αὐτοὺς καὶ πολεμοῦμεν. ἡ δὲ καλὴ ἐξήγησις αὕτη· καὶ οὐκ ἐκφαυλίζομεν αὐτοὺς ἀλλὰ πάνυ κάμνομεν καὶ ἄγαν ἐμφορούμεθα τοῦ κόπου[1] μαχόμενοι αὐτοῖς. καὶ Ὅμηρος[2]·

ἀλλ' ἔτι μέν μιν φημὶ ἄδην ἐλάαν[3] κακότητος·—

V. 479. ἀρκεῖν ἔοικεν: ἀντὶ τοῦ παραιτῇ τὸ παθεῖν, δρᾶσαι δὲ οὔ. ἀντὶ τοῦ ἡδέως εἶχες καὶ τοῦ πρᾶξαι εἰ μὴ ἠλαβοῦ τὸ παθεῖν. πρὸς ὃν Ἕκτωρ· ναί, φησὶ[1], παραιτοῦμαι τὸ πάθεῖν, πολλῆς γὰρ ἄρχω τυραννίδος, οἷον τὰ ἐνταῦθα ἀρκεῖ μοι:—

V. 490. ἀλλὰ μηνίων: μηνίων. τινές φασιν ὅτι οὐ δύναται ὑφ' ἓν εἶναι μηνίων ἀντὶ τοῦ ὀργιζόμενος, ἐπεὶ τὰ εἰς ω[1] καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβὰς ἐκτείνει τὸ ἰῶτα. ἔστι δὲ παρ' Ὁμήρῳ[2] συστολὴ αὐτοῦ·

αὐτὰρ ὃ μήνιε νηυσὶ παρήμενος.

V. 416. [1] Cod. αὐτῇ. Emendavit Hermannus Opusc. V. p. 189. [2] Cod. τάσεως. Corr. Dindorf. [3] Cod. θεὸν πείσαντες μῦστιν. Corr. Dindorf.

V. 476. [1] Cod. σκόπου. [2] Odyss. *E*. 290. [3] Cod. φημὶ . . . ἐλάαν.

V. 479. [1] Cod. φησὶ ναὶ φησὶ.

V. 490. [1] Cod. ὦν. [2] Iliad. *A*. 488.

διὸ καὶ οὕτως ἀναγνῶναι οὐδὲν κωλύει τῆς χρήσεως ἐχούσης:—

V. 504. Θυμβραῖον ἀμφὶ βωμὸν: παρὰ τὴν ἱστορίαν. ὁ γοῦν Διονυσόδωρος ἐν τοῖς παρὰ τοῖς τραγῳδοῖς ἡμαρτημένοις φησὶν οὕτως· ὁ δὲ Εὐριπίδης τὸ τοῦ Ἀπόλλωνος ἄλσος τοῦ Θυμβραίου στάδια πεντήκοντα ἀπέχον τῆς πόλεως πλησίον τῶν πυλῶν [1] εἶναί φησι [2]* καὶ στίζεσθαι εἰς τὸ [3] βωμὸν ἢ ἄστεος πέλας [4]. οὐδὲν γὰρ τὸ κωλῦον [5]:—

V. 505. κακῷ δὲ μερμέρῳ: μήποτε πρὸς τὸ χεῖρον μετέστραπται ἀπὸ τοῦ Τερμέρου, ἵν' ᾖ παρὰ τὴν παροιμίαν· Τερμέρια κακά, ὑπὲρ ὧν Φίλιππος ἐν τῷ περὶ Καρῶν συγγράμματι φησὶν οὕτως· Τέρμερον καὶ Λύκον Λέλεγας γενέσθαι θηριώδεις τὴν φύσιν. τοῦτον δὲ τὸν Τέρμερον πόλιν οἰκίσαι, ἣν δὴ ἀπ' αὐτοῦ Τέρμερον ὠνομάσθαι. τούτους δέ φασι πρώτους λῃστεῦσαι καὶ οὐ μόνον τὰ περὶ Καρίαν ἀλλὰ καὶ σχεδίας ἐκ [1] ῥιπῶν ποιήσαντας εἰς Κῶ ἐκπλεῖν [2]:—

V. 524. πρῶτα δύεται σημεῖα: Κράτης ἀγνοεῖν φησὶ τὸν Εὐριπίδην τὴν περὶ τὰ μετέωρα θεωρίαν διὰ τὸ νέον ἔτι εἶναι ὅτε τὸν Ῥῆσον ἐδίδασκε. μὴ γὰρ δύνασθαι Πλειάδων καταδυομένων τὸν ἀετὸν [1] μεσουρανεῖν. ὑπὸ γῆν γάρ ἐστι τότε ὁ αἰγόκερως, ἐφ' οὗ [2] ὁ ἀετὸς ἵδρυται. καὶ ἔτι Πλειάδων δυομένων ὑπὲρ μὲν γῆς εἰσὶ ζῴδια τάδε· ταῦρος, δίδυμοι [3], καρκῖνος, λέων, παρθένος, ζυγός· ὑπὸ γῆν δὲ τάδε· σκορπίος, τοξότης, αἰγόκερως, ὑδροχόος, ἰχθύς, κριός. καὶ ταῦτα μὲν ὁ Κράτης. ἔοικε δὲ ὑπὸ τῆς φράσεως ἀμφ(ιβόλου οὔσης) ἐξηπατῆ-

---

V. 504. [1] Cod. στάδιον ἀπέχει τῆς πλ$^{\eta}$ μετὰ τῶν πυλῶν. στάδια $\overline{\gamma}$ ἀπέχον restituit Kampmann. [2] Excidit aliquid. δύναται δὲ inseruit Dindorfius. [3] Cod. τὸν. [4] „Videtur correxisse aliquis:

Θυμβραῖον ἀμφὶ βωμὸν ἢ ἄστεος πέλας.“ Cob.

[5] Cod. κωλύον.

V. 505. [1] Cod. καὶ ῥιπῶν. [2] Cod. ἐξπλεῖν.

V. 524. [1] Cod. τοῦ ἀετοῦ. [2] Cod. ἐφ' ᾗ. [3] Cod.

σθαι[4]. τὰ γὰρ πρῶτα σημεῖα καὶ τὰς Πλειάδας ᾠήθη καταδύεσθαι λέγειν τὸν Εὐριπίδην. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τὰ μὲν πρῶτα σημεῖα τῆς φυλακῆς φησὶ δύεσθαι, τὰς δὲ Πλειάδας ἀνατέλλειν. πῶς γὰρ ἐπὶ καταδυομένων αἰθερίας εἶπεν αὐτάς; ὥστε τριχόθεν τὸν καιρὸν ὑπὸ τῶν φυλάκων δηλοῦσθαι, ἀπὸ[5] τῆς δύσεως, ἀνατολῆς καὶ μεσουρανήματος. ὁ μὲν οὖν Παρμενίσκος πρῶτα σημεῖα φησι λέγεσθαι τὰς τοῦ σκορπίου πρώτας μοίρας διὰ τὸ ὑπὸ τῶν ἀρχαίων οὕτως αὐτὰς λέγεσθαι καὶ ὅτι ταύταις ὁ Βοώτης ἅμα ἄρχεται καταδύεσθαι. Κλεόστρατον γοῦν τὸν Τενέδιον ἀρχαῖον* οὕτως·

ἀλλ' ὁπόταν τρίτον ἦμαρ ἐπ' ὀγδοήκοντα μένῃσι
σκορπίος[6], εἰς ἅλα πίπτει ἅμ' ἠοῖ φαινομένῃφι.

τοῦτο δὲ παραδείξας ὁ Παρμενίσκος ὅτι καταδύεται τὰ πρῶτα σημεῖα τοῦ σκορπίου καὶ τὰ περὶ τῆς Πλειάδος ἐπιτολῆς ἐπέξεισιν· ὅταν γὰρ, φησὶν, Εὐριπίδης λέγῃ καὶ ἑπτάποροι Πλειάδες αἰθέριαι οὐ δύεσθαι τότε αὐτὰς ἀλλ' ἔμπαλιν ἀνατέλλειν ἐκ τοῦ ὑποτμήματος εἰς τὸν ὑπερορίζοντα ἀνιούσας. καὶ τοῦτο εἶναι τὸ καὶ ἑπτάποροι πληϊάδες, οἷον ὡς τὸν ὡς πρὸς ἡμᾶς οὐρανὸν ἀφικνούμεναι[7]. ταῦτα δὲ καταστησάμενος, ὁμολογεῖ, φησὶ, τοῖς Εὐριπίδου τὰ φαινόμενα. τὰ μὲν πρῶτα σημεῖα τῆς ὥρας εἰς δύσιν κεχώρηκεν, ἡ δὲ Πλειὰς ἀνατέλλει, ὁ δὲ ἀετὸς πρὸς τὸ μέσον κεχώρηκε. λοιπὸν οὖν τῆς φυλακῆς ὁ καιρός· ἔγρεσθε, τί μέλλετε. ἑπτάπορον δὲ τὴν Πλειάδα, ὅτι ἐξ ἑπτὰ ἀστέρων σύγκεινται αἱ Πλειάδες. ἀετὸς δὲ ὁ τὸ ἧπαρ τοῦ Προμηθέως[8] ὥς φασί τινες:— Ἄλλως. τῶν περὶ τὸν Μενεκράτη ἐν διδύμοις τὸν ἥλιον λεγόντων, ἐν ᾧ τὰ τῆς καταστάσεως τῶν φαινομένων ὅπως εἶχε πρόκειται. εἰσὶ δὲ οἵ φασι περὶ τὰς ἐσχάτας μοίρας τοῦ καρκίνου εἶναι τότε τὸν ἥλιον. οὐ γὰρ ἂν μόνως τὴν σελήνην πρὸς ἀνατολὴν ἔσεσθαι συνάγουσιν

δίδυμος. [4] Cod. ἀμφ.....κεκρατῆσθαι. [5] Cod. ὑπὸ.
[6] Cod. σκορπίου. [7] Cod. ἀφικνούμενα. [8] „Addendum

οὕτως ὅ βούλονται. εἰ μὲν γὰρ πάλαι τὴν σελήνην ὡς ἐν τρισὶν ἡμέραις τοῦτον (γρ. τὰ προεκκείμενα[9]) οἱ φύλακες εὐήθεις ἱκανῶς ἔσονται. εὔλογον γὰρ .....ζήτει τὸ λεῖπον:—

V. 537. Κίλικας Παιὼν: οἱ μὲν τοὺς Κίλικας καὶ τοὺς Παιόνας τοὺς[1] αὐτοὺς ἤκουσαν. Ἀρίσταρχος δὲ Κόροιβον Παιόνων ἡγεμόνα καὶ τὴν φυλακὴν ποτὲ μὲν ἀπὸ τοῦ ἡγεμόνος ποτὲ δὲ ἀπὸ τῶν ὑπηκόων:—

V. 671. ἔα ἔα: ὁ χορὸς λέγει αἴσθησιν λαβὼν τῶν γεγονότων:—

V. 711. βίον δ' ἐπαιτῶν: τροφὴν αἰτῶν.

V. 712. ψαφαρόχρουν: τὸ χ̄ ὅτι φαλακρὸν αὐτόν φησιν:—

V. 720. δυσοίζων: βλασφημῶν ἢ ὀργιζόμενος καὶ λοιδορῶν.

V. 738. δι' ὀπτῶν (sic) στρατιᾶς: τῶν φροντιστῶν καὶ ἐπιστατῶν:—

V. 762. πλῆκτρα: αἱ μάστιγες.

V. 765. φαύλως: ἁπλῶς, ὡς ἔτυχεν.

V. 852. ᾖσαν: ᾔδεισαν. ἐγίνωσκον.

ΕΙΣ ΤΑΣ ΤΡΩΙΑΔΑΣ.

(E Codicibus R et Neapolitano Musei Borbonici 165 (N)).

Ἀριστοφάνους γραμματικοῦ σχόλια εἰς τὸ δρᾶμα τῶν τοῦ Εὐριπίδου Τρῳάδων:— N.

V. 1. ἥκω λιπὼν: ὅλος ἐστὶ[1] τοῦ θεάτρου ὁ Εὐριπίδης, πρὸς ὃ ἀφορῶν τοὺς λόγους νῦν ὁ Ποσειδῶν ποιεῖ παρὼν ἐν τῇ ὑποθέσει. πολλαχοῦ δὲ τοιοῦτος, ὡς ἐν ταῖς Βάκχαις[2] ὁ Διόνυσος·

ἐσθίων vel κείρων." *Cob.* [9] „Significant ea verba: γράφε τὰ προεκκείμενα, huc inserenda esse quae supra alieno loco essent apposita et pertinent ad codicem, quem librarius describebat." *Cob.*

V. 537. [1] Cod. om. τούς.

V. 1. [1] Codd. ἐπὶ. [2] V. 1.

ἦκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα:— RN.

V. 9. ὁ γὰρ Παρνάσσιος: Παρνάσσιον αὐτὸν εἶπε Φωκέα ὄντα διὰ τὸ τάττεσθαι[1] Δελφοὺς ὑπὸ Φωκεῦσιν. Ὅμηρος·

αὐτὰρ Φωκήων Σχεδίος[2] καὶ Ἐπίστροφος ἦρχον,
υἱέες Ἰφίτου μεγαθύμου Ναυβολίδαο.

εἶτα·

οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν.

παρ' ὃ[3] δὴ ἠξιοῦντο τοῦ τε ἱεροῦ καὶ τῶν αὐτόθι χρημάτων ἔχειν[4] τὴν ἐπιμέλειαν. ἔνθεν καὶ οἱ ἱεροὶ πόλεμοι κατερράγησαν, Λακεδαιμονίων μὲν ἀποδόντων Δελφοῖς τὸ ἱερὸν μετὰ τὸ καταπολεμῆσαι Φωκέας, Ἀθηναίων δὲ ἔμπαλιν Φωκεῦσιν αὐτὸ παραδόντων[5], καθάπερ Θουκυδίδης φησί[6]. καλεῖται δὲ ἱερὸς ὅτι περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς ἐγένετο. Φώκου δὲ τοῦ Ψαμάθης καὶ Ἀστεροδίας τῆς Δηϊονέως ἐγένετο Πανοπεὺς καὶ Κρῖσος[7] ὁ Κρισάντου[8], τοῦ δὲ Πανοπέως Ἐπειός. οὗτος εἰς Τροίαν στρατεύσας τὸν δούρειον ἵππον ἐποίησεν:— Ἄλλως. ὁ Φωκεὺς Παρνάσσιος εἴρηται ἐπεὶ Δελφὸς ὢν σὺν τοῖς Φωκεῦσιν ἐτάττετο[10] ἢ διὰ τὸ πλησίον τῇ Φωκίδι εἶναι τὸν Πάρνασσον:— RN.

V. 16. πρὸς δὲ κρηπίδων βάθροις: παρὰ τοῖς βάθροις δὲ τῶν κρηπίδων τοῦ ἑρκείου[1] Διὸς ἀντὶ τοῦ ὑπὸ τοῖς βωμοῖς τοῦ Διός. τὸν δὲ ἕρκειον[2] Λία ἄλλοι ἱστορικοὶ ἀναγράφουσιν ἰδίαν τινὰ σχέσιν περὶ αὐτοῦ ἱστοροῦντες[3], τρισὶν ὀφθαλμοῖς αὐτὸν[4] κεχρῆσθαί φασιν, ὡς οἱ περὶ Ἀγίαν καὶ Δερκύλον[5]. πεφόνευται δὲ ὁ Πρίαμος ὑπὸ Νεοπτο-

---

V. 9. [1] Codd. διατάττεσθαι. [2] Codd. σχέδιος. Iliad. B. 517. [3] Codd. παρ' ὦ. [4] Codd. εἶχον. [5] Vat. παραδόντων αὖτις. [6] I. 112. [7] Codd. κροῖσος. [8] Sic Vatic. corrupte. Neapol. ὄκρισαν. [9] Codd. ἐπειὸς δὲ ἀφῶν. (N. ἀφ' ὧν). [10] Codd. ἐτάττοντο.

V. 16. [1] Codd. ἑρκίου. [2] Codd. τὸ δὲ ἕρκιον. [3] Intelligi haec e Pausania II. 24. 4. coll. VIII. 46. 2. qui ex eodem fonte sua hausisse videatur, monuit *Cob.* [4] Codd. αἰτοὺς. [5] Codd. ἀγίαν καὶ δέρκαλον. „Athenaeus III. p. 86.

λέμου δικαίως ἐπειδὴ καὶ τὸν πατέρα αὐτοῦ Ἀχιλλέα ἐλθόντα ἐπὶ τὸν γάμον τῆς Πολυξένης οἱ περὶ Ἀλέξανδρον ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ[6] λόγχαις ἀνεῖλον. ταῦτα[7] ἔνιοι πρὸς χάριν Ἀθηναίων Εὐριπίδην λέγειν. ἀγαπητὸν γὰρ εἶναι τοῖς περὶ Δημοφῶντα Αἴθραν ἀναλαβεῖν, ἧς ἕνεκα αὐτούς φασιν[8] ἐπὶ Τροίαν ἐλθεῖν Μενεσθέως ἀφηγουμένου τῶν Ἀθηναίων:— RN.

V. 31. εἴληχ' Ἀθηναίων τε Θησεῖδαι πρόμοι: ἔνιοι ταῦτά φασι πρὸς[1] χάριν εἰρῆσθαι. μηδὲν[2] γὰρ εἰληφέναι τοὺς περὶ Ἀκάμαντα καὶ Δημοφῶντα ἐκ τῶν[3] λαφύρων ἀλλὰ μόνην τὴν Αἴθραν, δι' ἣν καὶ ἀφίκοντο εἰς Ἴλιον Μενεσθέως ἡγουμένου. Λυσίμαχος δὲ τὸν τὴν πέρσιδα[4] πεποιηκότα φησὶ γράφειν οὕτως·

Θησείδαις δ' ἔπορεν[5] δῶρα κρείων Ἀγαμέμνων
ἠδὲ Μενεσθῆϊ μεγαλήτορι ποιμένι λαῶν:— RN.

V. 32. ἄκληροι Τρῳάδων: γράφεται παρθένων. ὅσαι μὲν οὖν ἐκληρώθησαν, ὅσαι δὲ ἀκλήρωτοι ἐξαιρέτως δοθεῖσαι τοῖς πρώτοις ἐνταῦθα τυγχάνουσιν:— RN.

V. 36. τὴν δ' ἀθλίαν: ἄμεινον ἦν ἀπὸ τῶν πραγμάτων παράγεσθαι ὀδυρομένην τὰ παρόντα. οὕτως γὰρ ἂν[1] ἡ τραγῳδία τὸ πάθος εἶχε, νῦν δὲ ψυχρῶς τῷ θεάτρῳ προσδιαλέγεται:— RN.

F. Ἄγλαος δὲ καὶ Δερκύλος ἐν Ἀργολικοῖς τοὺς στραβήλους ἀστραβήλους ὀνομάζουσιν. Clemens Alexandr. Strom. I. p. 381. Ἴλιον ἑάλω — Θαργηλιῶνος μηνὸς δευτέρᾳ ἐπὶ δέκα — Ἄγλαος δὲ καὶ Δερκύλος ἐν τῇ τρίτῃ μηνὸς Πανέμου ὀγδόῃ φθίνοντος.“ *Cob.* [6] Codd. ἱερὸν. [7] Male coaluisse duo scholia intellexit *Cob.* Pertinere haec ad vs. 31. Post ταῦτα excidisse *φασίν*. [8] Codd. φησὶν.

V. 31. [1] Codd. κατὰ. „Saepe confunduntur κατὰ et πρός, cuius siglam librarii minus antiqui non intelligebant.“ *Cob.* [2] Codd. μὴ. [3] Codd. ἐκ τοὺς. [4] Codd. περσηΐδα. [5] Codd. ἔπορε.

V. 36. [1] Cod. οὐ γὰρ.

V. 89. *Μυκόνου*[1]: *ἀκτή τις οὕτω καλουμένη. Καφηρεὺς*[2] *δὲ ἀκρωτήριον Εὐβοίας, μεταξὺ Σκύρου*[3]. *Νεάνθης δὲ ὁ Κυζικηνὸς*[4] *Καθηρέα αὐτόν φησι πρότερον κεκλῆσθαι. εἶναι γὰρ ἐκεῖ βωμὸν εἰς ὃν Εὐβοεῖς καθαιρόμενοι ἔθυον. χρόνου δὲ προϊόντος Καφηρεὺς ἐκλήθη παραφθειράντων τῶν ἐνοικούντων τὴν λέξιν. περὶ τοῦτο δὲ οἱ πλεῖστοι τῶν Ἑλλήνων κατὰ τὸν ἀπόπλουν διεφθάρησαν. κοινὰ δὲ διὰ τῆς ἱστορίας:—* RN.

V. 113. *ἄρθρων κλισίας: ἀντὶ τοῦ φεῦ τῆς ἀνακλίσεως τῶν μελῶν ὡς διάκειμαι:—* R.

V. 139. *σκηναῖς ἔφεδρος Ἀγαμεμνονείαις: αὕτη μὲν ἔξω τῆς σκηνῆς ἦν, ὁ δὲ χορὸς ἔσω:—* R.

V. 177. *οἴμοι: τὸ λοιπὸν ἡμιχόριον ἐξῆλθεν:—* R.

V. 183. *ὀρθρεύου σὰν: ἔπαιρε τὴν σεαυτοῦ ψυχήν, ὦ χορέ. ἀπὸ μεταφορᾶς τῶν ὄρθρου ἐγειρομένων:—* R.

V. 212. *μὴ γὰρ δὴ δίναν: ἀπὸ κοινοῦ τὸ ἔλθοιμι. μὴ ἔλθοιμι, φησὶν, ὑπὸ τὴν δίνην τοῦ Εὐρώτου, ἥτις ἐστὶ Θεράπνη ἡ πόλις τῆς Ἑλένης. οἰκητήριόν*[1] *φησι τὰς Θεράπνας τῶν Διοσκούρων παρόσον ὑπὸ τὴν γῆν τῆς Θεράπνης εἶναι λέγονται ζῶντες, ὡς Ἀλκμάν*[2] *φησιν:* N.

V. 216. *τὰν Πηνειοῦ σεμνὰν χώραν: Πηνειοῦ χώραν τὴν Θετταλίαν. τῆς γὰρ Μακεδονίας Ὄλυμπος. ἡ δὲ Μακεδονία τῆς Θετταλίας. αἰνίττεται δὲ τὸν Νεοπτόλεμον. Καλλίμαχος* [Hymn. in Delum 112.] · *Πηνειὲ Φθιῶτα:—* N.

V. 220. *Φοινίκας ἀντήρη χώραν: ἀν-*

V. 89. [1] Codd. *μυκίνου*. [2] Codd. *κάφηρος*. [3] Excidisse aliquid, aut *ἀντικρύ* legendum recte monuit Kampmannus. [4] Codd. *κυζικηνὸς. καφήρειοί τ' ἄκραι: καφηρεὺς καθηρέα αὐτόν φησι.* alieno loco inserta esse verba *καφήρειοι — καφηρεύς*, vidit etiam Kampmann.

V. 212. [1] Cod. *οἰκητηρι*. [2] Cod. *ἀλκμαίων*.

τήρη Σικελίας τὴν Λιβύην εἴρηκε καὶ τὴν Καρχηδόνα, παρόσον τὸ Λιλύβαιον ἀκρωτήριον τῆς Σικελίας ἀντικρὺ κεῖται τῆς Καρχηδόνος, εἰς ἣν ἀπῴκησαν Τύριοι [1]. ἔστι δὲ ἡ Καρχηδὼν πόλις Λιβύης. ὀλίγῳ δὲ πρότερον τῶν Τρωϊκῶν Εὔδοξος ὁ Κνίδιος ἀπῳκηκέναι τοὺς Τυρίους [2] εἰς αὐτὴν, Ἀζάρου καὶ Καρχηδόνος ἡγουμένων, ἀφ' οὗ καὶ τὴν ὀνομασίαν ἔσχεν ἡ πόλις. τινές φασι καὶ τὴν Ῥώμην καὶ τὴν Καρχηδόνα ἐπὶ τῆς [3] πρώτης Ὀλυμπιάδος κτισθῆναι. Σοφοκλῆς δὲ ἐπὶ τῶν καιρῶν Τριπτολέμου οἰκισθῆναι τὴν Καρχηδόνα, ἐν οἷς φησί·

Καρχηδόνος δὲ κράσπεδ' ἐστ' [4]. Β. ἀσπάζομαι:— Hem
Ἄλλως. ἀντήρη Σικελίας τὴν Λιβύην φησὶ καὶ σφ
τὴν Καρχηδόνα, παρόσον τὸ [5] Λιλύβαιον ἀκρωτήριον τῆς Σικελίας τοῦτο [6] καταντικρύ ἐστι Καρχηδόνος. ὁ δὲ Παρμενίσκος τὴν Σικελίαν ἀντήρη τῆς Φοινίκης φησίν:— RN.

V. 230. Κρᾶθις: δύο εἰσὶ Κράθιδες, ὡς Παρμενίσκος φησίν. ὁ μὲν ἀπὸ Πελοποννήσου τὰς πηγὰς ἔχων μέχρι Ἀρκαδίας, ὃς ἐμβάλλει [1] τῷ Ἀλφειῷ, οὗ ἐάν τις τὸ ὕδωρ ἐπὶ πολὺν χρόνον ἀφῇ οὐ σήπεται οὐδὲ ἐὰν ἀπ' αὐτοῦ ἄρτοι πεφθῶσιν εὐρυτιῶσιν. ὁ δὲ ἐν Ἰταλίᾳ, οὗ νῦν μέμνηται ὁ Εὐριπίδης, ἐν ᾧ ἐάν τις λούσηται λελιπασμένος ἀνέρχεται ὡς δοκεῖν ἀλληλίφθαι [2] καὶ τὴν τρίχα ξανθίζειν ὡς ἐν ὀλίγαις ἡμέραις τὸν λουόμενον ἐν αὐτῷ πυρρότριχα γίνεσθαι. ἔνιοι δέ φασι τὸν μὲν Κρᾶθιν [3] τοῦτο μὴ

V. 220. [1] Codd. *τυρροί*. [2] Codd. *τυρρίους*. [3] Vat. ἀπο. Neap. ἀπὸ τῆς. [4] Vat. *κράσπεδ...ἀσπάζομαι*. Neap. *κράσπεδες* (— δ cum compendio syllabae ες) *ἀσπάζομαι*. Addidit interlocutoris notam *Cobet*. [5] om. Vatic. [6] *τοῦτο* delendum vidit *Cob*.

V. 230. [1] Codd. *συμβάλλει καὶ*. [2] Vat. *εἰλῆφθαι*. Neap. *εἰλίφθαι*. „Dindorfius *ἠλεῖφθαι*, quam formam Graecis in usu non fuisse docet Sextus Empiricus adv. Mathem. I. 10. p. 266. *ἀλήλιπται μὲν εἶπον τις ἄν, ἤλειπται δὲ οὐκέτι.*“ *Cob*. [3] Vat. *κράνθιν*.

ποιεῖν, τὸν δὲ ἐν Τροίᾳ Ξάνθον, ἀφ' οὗ καὶ ὀνομάζεται Σκάμανδρος καλούμενος. τὸν δὲ Εὐριπίδην ἐπὶ τοῦ Κράθιδός φασι τοῦτο μετενηνοχέναι. ὁ δὲ Αἰσχρίων φησὶν ὅτι ἐν Πελοποννήσῳ ἦν Κρᾶθις καλούμενος ποταμὸς, ὃς ἐποίει τὰς κόμας ξανθὰς τῶν λουομένων. οἱ δὲ ἀπὸ Πελοποννήσου ἀποικίαν στειλάμενοι καὶ κτίσαντες Σύβαριν τὸν ἐκεῖ ποταμὸν ὠνόμασαν Κρᾶθιν. ἀπὸ οὖν τοῦ ἐν Πελοποννήσῳ ὁ Εὐριπίδης τοῦ ἐν Ἰταλίᾳ μέμνηται ὡς οὐ μόνον τὸ αὐτὸ ὄνομα ἔχοντος τῷ ἐν Ἀχαΐᾳ ποταμῷ[4] ἀλλὰ καὶ τὴν δύναμιν:— RN.

V. 303. δυσλόφως: ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων: R.

V. 343. βασίλεια: ταῦτά τινες τῷ Ταλθυβίῳ, τινὲς δὲ τῷ χορῷ ἐπιμερίζουσιν:— R.

V. 352. σεσωφρονήκασ': σώφρονα πεποιήκασι, τὰ κακά σε οἱ πεπαιδεύκασιν:— R.

V. 422. καλὸν νύμφευμα: ἐν εἰρωνείᾳ ταῦτα λέγει:— R.

V. 442. αἳ σάρκα φωνήεσσαν: καὶ Ὅμηρος (Od. M. 395.)·

κρέα δ' ἀμφ' ὀβελοῖσι μέμυκεν:— N.

V. 535. πεύκα ἐν οὐρείᾳ: ἐν τῇ οὐρείᾳ πεύκῃ. ξύλινος γὰρ ὁ ἵππος. R.

V. 538. θέᾳ δώσων; καὶ ὁ Πρίαμος ἐξῆλθε τὴν βλάβην θεασόμενος:— R.

V. 571. εἰρεσίᾳ: τῇ συζυγίᾳ. ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων:— R.

V. 597. οἱ δὲ πόθοι μεγάλοι: ἃ ποθεῖτε μεγάλα ἐστὶν, ἡ μὲν Ἕκτορα, ἡ δὲ Πρίαμον:— R.

V. 230. [4] Codd. τοῦ — ποταμοῦ.

V. 352. „Qui haec scripsit, legerat in Euripide οὐδέ σ' αἱ τύχαι, τέκνον, σεσωφρονίκασ'. Suspicor scripsisse poetam: σώφρονά γ' ἔθηκαν. superscripta interpretatio deinde, uti fit, in textum irrepsit.“ *Cob.* σοφὴν ἔθηκαν conj. Hartung. Neutrum probabile. Vid. Hermann. in dissert. *de quibusdam locis* Eurip. Troad. p. 8.

V. 634. οὐ ταυτὸν ὦ παῖ τὸ βλέπειν: ἔθος ἐστὶ τῷ Εὐριπίδῃ τῷ βλέπειν χρῆσθαι ἀντὶ τοῦ ζῆν, ὡς καὶ ἀλλαχοῦ·

τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ' αὖ βλέπει[1] :— R.

V. 636. ὦ μῆτερ ὦ τεκοῦσα: οὐ στοχάζεται τῶν ὑποκειμένων προσώπων. καὶ γὰρ νῦν ἡ Ἀνδρομάχη τὰ αὐτὰ[1] φιλοσοφεῖ, ἅπερ καὶ ἔμπροσθεν ἡ Κασάνδρα :— R.

V. 709. Φρυγῶν ἀρίστου: μήποτε οὐχ ὁ Ταλθύβιος ἀλλ' ἄλλος τις ταῦτα λέγει. καὶ γὰρ οὐ λάτριν ἀλλ' ὀνομαστὶ Ταλθύβιον καλεῖν εἴωθεν :— R.

V. 814. τυκτίσματα: τὰς κατασκευὰς, τὰ τείχη. R.

V. 821. Λαομεδόντιε παῖ: τὸν Γανυμήδην καθ' Ὅμηρον Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι, ὃν οἱ μὲν Θεστορίδην Φωκέα φασὶν, οἱ δὲ Κιναιθῶνα Λακεδαιμόνιον, ὡς Ἑλλάνικος[1], οἱ δὲ Διόδωρον Ἐρυθραῖον. φησὶ δὲ οὕτως· Herm. opusc. V, 18

Ἄμπελον, ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα
χρυσείοις φύλλοισιν ἀγανοῖσι κομόωσαν
βότρυσί θ', οὓς Ἥφαιστος ἐπασκήσας Διῒ πατρὶ
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν[2] Γανυμήδεος ἄντι.

καὶ Ἀντιφάνης[3] Λαομέδοντος παῖδα τὸν Γανυμήδην φησὶ διὰ τούτων·

τῶν οἰκιῶν (οὖν, ὧν) ὁρᾷς, ἐν τῇδε μὲν
ὁ τῶν Φρυγῶν τύραννος οἰκῶν[4] τυγχάνει
γέρων, ἀπ' ὀργῆς Λαομέδων καλούμενος :— RN.

V. 849. ὃν ἀστέρων τέθριππος: τὸν Τι-

V. 634. [1] Cod. δ' ἀναβλέπει.

V. 636. [1] Cod. ἀνδρομάχη αὐ.

V. 821. [1] Codd. μελάνικος. [2] Codd. πόρε. [3] Codd. ἀριστοφάνης. „Apparet esse e Prologo τοῦ Γανυμήδους Antiphanis.“ *Cob.* [4] Codd. διὰ τὰς τῶν οἰκείων .... ὁρᾷς ἐν τῇδε μενόντων φρυγῶν τύραννος ὤκων.

θωνὸν λέγει ἡ Ἡμέρα ἔχουσα. κατὰ δὲ Ἡσίοδον οὐ ἔστι ταυτὸν Ἠὼς καὶ Ἡμέρα [1]. λέγει ὅτε μὲν Θεία[2] δ' ἠέλιον τέκετο[3] λαμπράν τε σελήνην:— R.

V. 888. *Μενέλαε: διὰ τί τολμηρῶς αὐτὸ Μενέλαον καὶ οὐ πόσιν προσαγορεύει; διὰ τὸ μετὰ φόβου ἐξάγεσθαι ἀρχὴν φησι τοῦ λόγου ταύτην ἀξίαν φόβου τὸ Μενέλαον αὐτὸν καὶ οὐ πόσιν προσαγορεύειν:—* NR.

V. 894. *οὐκ εἰς ἀκριβές: ὅ ἐστιν οὐκ εἰς τὸ ἀκριβὲς ἦλθεν ὥστε ἀριθμουμένων τῶν ψήφων εἰς τὸ βραχὺ ἐλθεῖν καὶ εἰς ἰσοψηφίαν καταντῆσαι:—* R.

V. 968. *αἳ παιδιαῖσι καὶ χλιδῇ μορφῆς πέρι ἦλθον πρὸς Ἴδην) ἀνοίκειον τοῦτο τοῦ ὑποκειμένου. ἔδει γὰρ αὐτὴν ἀνελεῖν καὶ μὴ εἰπεῖν ὅτι παίζουσαι [1] ἦλθον εἰς τὴν τοῦ κάλλους ἔριν. διόπερ καὶ τοὺς ἐν Ἰλιάδι στίχους ἀθετοῦσι τοὺς· ὃς νείκεσσε[2] θεὰς (καὶ τὰ ἑξῆς). δύναται δὲ καὶ καθ' ὑπόκρισιν ἐρωτηματικῶς ἀκούεσθαι. αἳ παιδιαῖς καὶ τρυφῇ ἦλθον εἰς Ἴδην οὐκ ἦλθον, οὐ δῆτα. ὥστε εἶναι πάντων τῶν προειρημένων ἀναιρετικόν. τὸν γὰρ ἐναντίον λόγον χειρίζουσα ὀφείλει ἀναιρεῖν ἐκεῖνα:—* R.

V. 1003. *κἄπειτα πλεκταῖς: καθόλου νῦν παρὰ τὸ προσῆκον ἡ Ἑκάβη δικαιολογεῖ, ὡς φησιν*

V. 849. [1] Cod. *ἡμέρα ταυτόν.* [2] Cod. *λέγει ὅτεμενθεῖα.* Theog. 371. [3] „Scrib. *τε μέγαν. τέκετο* debetur librario antiqui Codicis evanidam scripturam vel lacunam utcunque explenti. Eadem de causa reliquam partem Scholii, quam expedire nullo modo poterat, omisit, sic supplendam:

Θεία δ' ἠέλιόν τε μέγαν λαμπράν τε σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι
γείνατ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

ὅτε δὲ (vs. 124)

Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσσαμένη Ἐρέβει φιλότητι μιγεῖσα." Cob.

V. 968. [1] Cod. *παίζουσα.* [2] Cod. *τὸ ὃς νείκεσσε.* Iliad. Ω. 29. *Addidit καὶ τὰ ἑξῆς Cob.*

νικτην[1] ὁ ποιητής. εἰσὶ δὲ αἱ τοιαῦται ἐπιχειρήσεις ἁμάρτυροι πίστεις:— R.

V. 1023. στεφάνωσον Ἑλλάδ': εὐήθης ἡ Ἑκάβη. ἀπὸ γὰρ τῆς ἐμβολῆς τοῦ ξίφους ἐχρῆν[1] ἐπιγνῶναι τὴν διάθεσιν τοῦ ἀνδρὸς, ὡς ἐν τῇ Ἀνδρομάχῃ·

οὐκ ἔκτανες γυναῖκα[2] χειρίαν λαβών: — R.

V. 1074. φθιμένοις ἀλαίνεις: ἐν τοῖς νεκροῖς διατρίβεις:— R.

V. 1119. οὗ θᾶσσον: θᾶσσον τοῦ δέοντος ἐξώρμησε[1] καὶ οὐκ ἐπεμέρισέ τινα τῇ μονῇ χάριν. οὔτε γὰρ ἠγήσατο κεχαρισμένον ἑαυτῷ εἶναι τὸ μεῖναι ἀλλ' ἀνήχθη. τοῦτο δὲ πρὸς τὴν δραματικὴν ὑπόθεσιν μεμηχάνηται, ὅπως τὸ ἐπεισόδιον ἐπαγάγοι τοῦτο ἐπὶ τῆς σκηνῆς, τήν τε ἀσπίδα παρεισενέγκοι[2] καὶ τὸν Ἀστυάνακτα. πρὸς μὲν οὖν τὴν ταχεῖαν ἀναχώρησιν εὗρεν ὅτι αἴτιον τῷ Νεοπτολέμῳ τὸν Πηλέα ὑπὸ Ἀκάστου ἐκβεβλῆσθαι, περὶ δὲ τῆς ἀσπίδος, ὅτι ἠξίωσεν αὐτὸν ἡ Ἀνδρομάχη τὴν ἀσπίδα αὐτῇ[3] ἀφεῖναι, ὅπως μὴ ἐν τῷ αὐτῷ θαλάμῳ ἡ τοῦ Ἕκτορος ἀσπὶς ᾖ. κομψὰ δὲ ταῦτα πάντα πεποίηκε, παρῄρητο δὲ τὸ τραγικὸν κατασκεύασμα. εἴπερ γὰρ[4] παρῆν ἡ Ἀνδρομάχη οἰκτρότερον ἂν ἐγένετο τὸ πάθος θρηνούσης αὐτῆς τὸν ἴδιον παῖδα. ἀντικατήλλακται δὲ τοῦ τοιούτου πάθους τὴν τῆς ἀσπίδος εἰσαγωγήν:— R.

V. 1156. ὅστις φοβεῖται: ὅστις μὴ μετὰ λογισμοῦ φοβεῖται:— R.

V. 1179. γράψειεν ἄν σε: εἰώθασιν ἐν

V. 1003. [1] Cod. νικτ (cum compendio syllabae ην) τ
ὁ ποιη.

V. 1023. [1] Cod. ἐχρὴν. [2] Cod. γυναῖκα σὴν. Andr. vs. 619.

V. 1119. [1] Cod. ἐξώρμ. „Sic aoristi scribuntur:“ η τ
Cob. [2] Cod. παρεισενέγκῃ. [3] Cod. αυ. [4] Cod. om. γὰρ.

τοῖς τάφοις γράφειν τὰ ἀνδραγαθήματα. καὶ σὲ οὐκ ἔστιν πῶς γράψει; ἆρα[1] ὡς ἐφονεύθης ὑπὸ τῶν Ἑλλήνων, αἰσχύνην τοῖς Ἕλλησι δι' ὧν λέγει αὐτοὺς ἕνα παῖδα πεφοβῆσθαι:— R.

V. 1233. ἀφανεῖς ἂν ὄντες: νῦν, φησὶ, περιβόητοι ἐγενόμεθα. εἰ δ' ὡς ἔτυχεν ἐπορθήθημεν οὐδὲ ὑμνούμεθα. τρίτον δὲ τὸ ἂν παρέλαβε δέον[1] ἅπαξ. Ἀττικὸν δὲ τὸ ἔθος:— R.

V. 1179. [1] Cod. ἄρα.

V. 1233. [1] Cod. δέ solemni errore.

INDEX SCRIPTORUM

IN

SCHOLIIS LAUDATORUM.

Aeschrio. Tr. 230.

Aeschylus ἐν Γλαύκῳ Ποτνιεῖ. Phoen. 1194.
Εὐμενίσι. Alc. 12.
ἐν τοῖς Φρυξίν. Andr. 1.
ἐν ταῖς Χοηφόροις. Alc. 785.

Agias. Tr. 16.

Alcman. Tr. 212.

Alexandrides Delphus. Alc. 1.

Amelesagoras. Alc. 1.

Anacreon. Hec. 365. 915.

Anaxicrates ἐν τῇ δευτέρᾳ τῶν Ἀργολικῶν. Andr. 224.

Anticlides. Andr. 276.

Antigonus. Phoen. 159.

Antiphanes (ἐν Γαυμήδει). Tr. 821.

Apollodorus. Alc. 1. Andr. 32.
ἐν τῷ περὶ θεῶν. Hec. 462.

Aristarchus. Alc. 1164. Rh. 537.

Aristodemus. Phoen. 159.

Aristophanes. Or. 269.
ἐν Βατρύχοις. Hec. 129. Or. 891.
(ἐν Εἰρήνῃ) Med. 1016.

Aristophanes Gram. Or. 703. Hipp. 170. Troad. init.

Aristoteles ἐν τῇ τῶν Λακώνων πολιτείᾳ. Andr. 446.
ἐν Θεσσαλῶν πολιτείᾳ. Rh. 307.
Asclepiades. Or. 1640.
ἐν τραγῳδουμένοις. Alc. 1.

Callimachus. Hec. 467. 915. Andr. 446. Tr. 216.
ἐν τῇ Ἑκάλῃ. Hipp. 30.
Callisthenes ἐν δευτέρῳ τῶν Ἑλληνικῶν. Hec. 892.
Chrysippus ἐν ἠθικῶν δεκάτῳ. Andr. 276.
Cinaethon Lacedaemonius. Tr. 821.
Cleostratus Tenedius. Rh. 524.
Comicus incertus. Or. 224.
Crates. Rh. 5. 524.
Cratinus. Rh. 416.
ἐν Θρᾴτταις. Hec. 821.
Critias. Hipp. 263.

Demosthenes. Or. 245. Andr. 967.
Dercylus. Tr. 16.
Dicaearchus. Andr. 1.
Didymus. Hec. 830. Andr. 329. 363.
Dinias ἐν τῷ πρώτῳ τῆς πρώτης συντάξεως ἐκδόσεως δὲ δευτέρας. Or. 859.
Diodorus Erythraeus. Tr. 821.
Dionysius ὁ τὸν Κύκλον ποιήσας. Hec. 119.
ὁ Κυκλογράφος ἐν τῷ πρώτῳ. Or. 859.
Dionysodorus ἐν τοῖς παρὰ τοῖς τραγῳδοῖς ἡμαρτημένοις. Rh. 504.
Duris ἐν δευτέρῳ τῶν Ὡρων. Hec. 915.

Epigramma ἐν Τεγέᾳ. Hipp. 263.
Eratosthenes. Hec. 569.
ἐν τῷ τρίτῳ τῶν γεωγραφουμένων. Med. 2.
Eudoxus Cnidius. Tr. 220.
Euphorion. Ph. 682.
Euripides. Hec. 41. Andr. 4. Tr. 634.
ἐν τῷ Ἀλεξάνδρῳ. Hipp. 67.

Euripides. Ἄλκηστις. Argum. Alc. Or. 1686.
Ἀλκμαίων ὁ διὰ Ψωφῖδος. Arg. Alc.
Ἀνδρομάχῃ οὐ δεδίδακται Ἀθήνησιν. Andr. 446.
ἐν Ἀνδρομάχῃ. Tr. 1023.
ἐν Ἀντιγόνῃ. Ph. 1130.
ἐν τῇ Ἀντιόπῃ. Hipp. 67.
ἐν Αὐγῇ. Rh. 416.
ἐν Βάκχαις. Andr. 968. Tr. 1.
ἐν Βελλεροφόντῃ. Or. 859.
ἐν Θησεῖ. Hec. 285.
Κρῆσσαι. Arg. Alc.
Ὀρέστης. Arg. Alc.
Τήλεφος. Arg. Alc.
ἐν Τρῳάσιν. Or. 258.
ἐν Φαέθοντι. Or. 1373.

Glaucus. Hec. 41.

Hecataeus. Or. 859.
Hellanicus. Hec. 119. Tr. 821.
Heraclitus ὁ Φυσικός. Alc. 983.
Hermippus ἐν Ἀρτοπώλισιν. Med. 1016.
Herodianus. Rh. 207.
Hesiodus. Hec. 69. Or. 239. 859. Alc. 1. Andr. 1141. Tr. 849.
Homerus. Hec. 4. 119.
(Iliadis *A.* 488.) Rh. 490.
B. 136.) Andr. 1015.
B. 400.) Hipp. 103.
B. 517.) Tr. 9.
B. 711.) Alc. 1164.
E. 69.) Andr. 224.
Z. 24.) Alc. 1001.
I. 499.) Or. 245.
I. 527.) Andr. 1141.
Λ. 223.) Hec. 1.
Λ. 244.) Alc. 8.
Λ. 328.) Andr. 107.

Homerus. (Iliadis *A.* 659.) Andr. 607.
N. 15.) Rh. 5.
Π. 149.) Rh. 239.
Π. 365.) Andr. 1204.
Π. 718.) Hec. 1.
P. 695.) Andr. 1054.
T. 221.) Alc. 8.
X. 371.) Andr. 1130.
Ψ. 277.) Rh. 185.
Ω. 29.) Tr. 968.
Ω. 734.) Andr. 10.
(Odysseae *Δ.* 535.) Hec. 1255.
Δ. 704.) Andr. 1054.
E. 290.) Rh. 476.
K. 190.) Ph. 886.
K. 226.) Ph. 886.
M. 61.) Med. 2.
M. 395.) Tr. 442.
Ξ. 483.) Rh. 5.
T. 264. 268.) Andr. 18.

Ibycus. Hec. 41.

Incerti scriptores.
Comicus Or. 224.
Poetae. [Soph. *ἐν Οἰδ. Τυρ.* 775.] Med. 1016. Andr. 100. 184.
ὁ *τὴν Ἀλκμαιωνίδα πεποιηκώς.* Andr. 678.
ὁ *τὴν μικρὰν Ἰλιάδα (ποιήσας).* Hec. 892.
ὁ *τὴν μικρὰν Ἰλιάδα πεποιηκώς.* Tr. 821.
ὁ *τὰ Κυπριακὰ ποιήσας.* Hec. 41.
ὁ *τὰς Κυπριακὰς ἱστορίας συντάξας.* Andr. 880.
ὁ *τὴν πέρσιδα συντεταχὼς ποιητής.* Andr. 10.
ὁ *τὴν πέρσιδα πεποιηκώς.* Tr. 31.

Lycomedes Acanthius *ἐν τοῖς Λακεδαιμονικοῖς.* Andr. 24.
Lycophron. Andr. 299.
Lysanias. Andr. 10.

Lysimachus. Hec. 892. Andr. 32. 880. Tr. 31.
ἐν τῷ δευτέρῳ τῶν Νόστων. Andr. 24.

Menander. Ph. 61. 886. Hipp. 331. Rh. 248.
ἐν Δυσκόλῳ. Andr. 957.
Menecrates. Rh. 524.

Neanthes Cyzicenus. Tr. 89.
Nicander. Hec. 1.

Orpheus. Alc. 983.
Orphici. Hec. 1. Alc. 1.

Panyasis. Alc. 1.
Parmeniscus. Tr. 220. 230. Rh. 524.
Pherecrates ἐν Δουλοδιδασκάλῳ. Hec. 462.
Pherecydes. Hec. 1. Alc. 1. Andr. 18. 1217.
ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν. Alc. 1.
Phileas. Andr. 1.
Philemon ἐν Σικελικῷ. Rh. 248.
Philippus ἐν τῷ περὶ Καρῶν συγγράμματι. Rh. 505.
Philochorus. Andr. 446.
ἐν τῷ περὶ τραγῳδιῶν. Hec. 1.
ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ. Hec. 1.
ἐν πρώτῳ περὶ μαντικῆς. Alc. 983.
Phrynichus Tragicus. Or. 859.
Phrynichus Grammaticus. Med. 1016.
Phylarchus. Alc. 1.
Pindarus. Hipp. 263. Andr. 107. 781.
Plato Comicus. Hec. 821.
Polemo ἐν τῷ τετάρτῳ τῶν πρὸς Ἀναξανδρίδην. Or. 1632.
Polyarchus Cyrenaeus. Alc. 1.
Proxenus. Andr. 24.

Rhianus. Alc. 1.

Sannurio ἐν Λανύῃ. Or. 269.